378

15

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

1890
1756
140

100
56
90
186

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΤΥΠΙΚΗ' ΔΙΑ'ΤΑΞΙΣ

Ὡς Εὕρηται τῆς κατὰ τὴν Νῆσον Κύπρου, Σεβασμίας καὶ Βασιλικῆς Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου,

# ΜΑΧΑΙΡΑ'ΔΟΣ

Ἐπιλεγομένης, Νῦν Πρῶτον Τύποις Ἐκδοθεῖσα πρὸς ὠφέλειαν τῶν ἐντυγχανόντων.

Δαπάνῃ μὲν καὶ Ἐξόδῳ τοῦ τῆς Ἱερᾶς αὐτῆς Μονῆς Οἰκονόμου κὺρ Παρθενίου.

Ἐπιμελείᾳ δὲ τοῦ ἐν Ἱεροδιδασκάλοις Κυρίου Ἐφραίμ.

Ἐπιστασίᾳ δὲ Κυρίου Σεραφεὶμ Πισιδείου τοῦ Πρωτοσυγκέλλου τῆς Ἱερᾶς, καὶ Βασιλικῆς Μονῆς τοῦ Κύκκου.



ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΕΝΕΤΙΗΣΙΝ, ͵αψνς´.

Παρὰ Ἀντωνίῳ τῷ Βόρτολι. 1756.

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

ΕΚ ΤΩΝ ΤΟΥ ΞΕΝΟΦΩΝΤΟΣ Μ. ΣΙΔΕΡΙΔΟΥ

«Περί τινων χειρογράφων τῆς ἄρτι ἀποτεφρωθείσης μονῆς τῆς Μαχαιρᾶδος ἐν Κύπρῳ» ὑπὸ Χρ. Παπαδοπούλου, ἐν σελ. 830–831 τοῦ α΄ τόμου (1892) τῆς «Νεολόγου Ἑβδομαδιαίας Ἐπιθεωρήσεως».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 435
ΒΙΒΛΙΟ... ...ΧΟΥ

ΞΕΝΟΦΩΝ Μ. ΣΙΔΕΡΙΔΗΣ

Τοῖς ἐντυγχάνουσι πᾶσι
τὸ χαίρειν.

Ἐπειδὴ Θείῳ ἐλέει, τῆς Μονῆς ἡμῶν συστάσης εὕρηται καὶ ἡ Τυπικὴ Διάταξις τοῦ κτίτορος ταύτης ὁσίου Νείλου καίτοι διεφθαρμένη ἐκ τῆς ἀμελείας καὶ πολυχρονιότητος, ἐφρόντισα, ἵνα ἔλθῃ εἰς φῶς, διὰ τοῦ ἱεροδιδασκάλου Κυρίου Ἐφραίμ· ὃν καὶ παρεκάλεσα πολλάκις, νὰ διορθώσῃ τὰ ἐλλείποντα ϗ διεφθαρμένα αὐτῆς. καὶ χάριτι τῆς Παρθενομήτορος οὐ παρεῖδε τὴν δέησιν κἀμοῦ. ἀλλὰ ζήλῳ θείῳ κινούμενος, τὰ μὲν ἐλλείποντα μεταξὺ τρία ἢ τέτταρα φύλλα, ἀφῆκε παντελῶς, διὰ νὰ φαίνεται τὸ γνήσιον τοῦ συγγραφέως· τὰ δὲ διεφθαρμένα, ὡς οἶδεν αὐτὸς διωρθώσατο, ὢν τῇ ἀληθείᾳ καὶ φαινόμενος ἔργῳ καὶ λόγῳ Διδάσκαλος, ὡς ϗ πᾶσι δῆλον. γνωστὸς γὰρ ἅπασιν ὁ ἀνήρ. ὅθεν δέξασθε τὸ παρὸν εὐγνωμόνως Πατέρες καὶ ἀδελφοί μου, ϗ πάντες οἱ μοναχοὶ· μάλιστα δὲ οἱ ἐν κοινοβίοις διατρίβοντες. καὶ ἀναγνῶτε προθύμως καὶ ἐπιμελῶς, καὶ θέλετε λάβει ὠφέλειαν μεγάλην, ἐὰν προσέχετε. διατί, ἐνίοτε δὲν παραβλέπουσι τινες, καὶ ἀναγινώσκουν παραμύθια καὶ ἄλλα παρόμοια συγγράμματα, πόσον μᾶλλον χρεωστοῦμεν ἡμεῖς νὰ ἀναγινώσκωμεν ὅσα ψυχωφελῆ βιβλία, εἰς τὰ ὁποῖα βλέπομεν τὴν θαυμάσιον ζωὴν, τῶν ἀληθινῶν Μοναχῶν. ἀγκαλά, οὔτε νὰ ἀκούωμεν ὑμεῖς, τοιαῦτα νῦν δὲν ἀγαποῦμεν. πλὴν ἐνδέχεται μὲ τὴν συνεχῆ ἀκρόασιν, νὰ διεγερθῶμεν ποτὲ καὶ πρὸς ἀρετήν. καὶ διὰ τοῦτο λοιπὸν ἂς μὴ ἀμελοῦμεν, κἂν καὶ ἁμαρτωλοὶ, ϗ ἀπὸ τὴν ἀνάγνωσιν τῶν Ἱερῶν Βιβλίων. Δέξασθε τοιγαροῦν ταύτην εὐγνωμόνως τὴν Βίβλον, καὶ μάλιστα οἱ τῆς ἡμετέρας Μονῆς Ἀδελφοὶ, φυλάττοντες τὰ διορισθέντα κατὰ τὸ δυνατόν. καὶ εὐχόμενοι ϗ ὑπὲρ ἐμοῦ πρὸς Κύριον· παρ᾽ οὗ ϗ εἴητε ὑγιαίνοντες καθ᾽ ἑκάτερον, ὡς ἐπεύχομαι.

Ὁ οἰκονόμος τῆς Ἱερᾶς καὶ Βασιλικῆς Μονῆς
Μαχαιρᾶδος ὁ μοναχὸς Παρθένιος

ΜΤ́ ΘῪ

# Ἡ ἘΝ ΜΑΧΑΙΡᾹ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΙΑΜΒΙΚΟΙ ΣΤΙΧΟΙ

## ΕΙΣ ΤΗΝ

# ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ,

## ΤΟΥ ΜΑΧΑΙΡΑ.

ΜΗτερ Θεȣ̃ Δέσποινα οἴκτηρον σύ με,
Ἡ ἐν Μαχαιρᾷ, ὡς Μάχαιρα δαιμόνων
Τέμνȣσα κάρας, καὶ δόλȣς πολυπλόκȣς,
Φάνηθι Παντάνασσα, καὶ κόψον πάθη,
Λῦσον τε σειρὰς τῶν ἐμῶν ἐγκλημάτων,
Καὶ Ἐλέησον ἐν θανάτȣ ἡμέρᾳ,
Καὶ κρίσεως φεῦ τῆς δικαίας Κυρίȣ.
Ἔχεις γὰρ ἰσχὺ ὡς Θεὸν τετοκυῖα,
Τῶν Χριστιανῶν ȣ̃σα ἡ Σωτηρία,
Ἡ ἁμαρτανόντων Θεία παρηγορία,
Ἐλπίς τε, πρέσβις ἀκαταίσχυντος λίαν.

Οἰκτρός σοι Παρθένε δȣ̃λος,
Ἐφραὶμ ὁ Ἁμαρτωλός.

## ΤΟΙ͂Σ ἘΝ Τῌ͂ ἹΕΡᾼ͂ ΜΟΝῌ͂

# ΤΗ͂Σ ΘΕΟΤΌΚΟΥ,

## ΜΑΧΑΙΡΆΔΟΣ

### Ἐπιλεγομένης, Ὁσιωτάτοις πατράσιν Ἱερομονάχοις καὶ Μοναχοῖς, καὶ πᾶσι τοῖς ἐντυγχάνουσι, τὴν τῶν ποθουμένων ἐπίταξιν.

ΟΝπως καλὸν καὶ θεοφιλὲς ἔργον ἐζητήσατε ἐν Χριστῷ μοι Ἀδελφοὶ περιπόθητοι, τὴν διόρθωσιν τῆς διεφθαρμένης ἔν τισι μέρεσι κτιτορικῆς Τυπικῆς διατάξεως τῆς Μονῆς ὑμῶν, καὶ τὴν ἔκδοσιν ταύτης εἰς τύπον. τὸ ὁποῖον ἰδοὺ χάριτι θείᾳ ἐγένετο κατὰ τὸν πόθον σας, ἀγκαλὰ καὶ ἔχει μερικοὺς σολοικισμοὺς καὶ τέσσαρα φύλλα ἐλλειπῆ, ὁποῦ δὲν συμποσοῦνται οὔτε ἐν σχεδὸν, διὰ τὸ ἀραιὸν τοῦ γραψίματος, ὅθεν καὶ ἀφέθησαν οὕτω διὰ τὸ γνήσιον φαίνεσθαι τὴν Βίβλον, καὶ ἵνα ᾖ τὸ πλέον τῆς χάριτος εἰς τὸν συγγραφέα, εἴπερ τῆς ἐντελοῦς μαθήσεως. τοῦτο γὰρ αὐτὸ καὶ εἰς τὰ Πατρικὰ φαίνεται, ὅπως καὶ ἀληθέστατον ἀποδειχθῇ τὸ, ἀρχὴ Σοφίας φόβος Κυρίου. ἄξιον ὅμως θαυμασμοῦ ἐστὶν, ὁ πόθος τῶν Ἁγίων Πατέρων καὶ ὁσίων ἀνδρῶν, τὸν ὁποῖον ἔδειχναν, εἰς τὴν ἀνάγνωσιν τῶν Ἱερῶν Βιβλίων, καὶ ἔρευναν τῶν Θείων γραφῶν, μὲ τοσαύτην εὐλογημένην ἁπλότητα, καὶ ὄχι βαρβαρότητα κατὰ τοὺς τωρινοὺς φρονηματίας, καὶ τὴν ἁγιωσύνην ἐπιγράφοντας, εἰς τὸ ὑποκριτικὸν ταπεινὸν σχῆμα μόνον, καὶ τὴν συλλογὴν τῶν γραμμάτων ἐκζητείας, καὶ κατακρίνοντας διὰ τοῦτο σπουδαίους, καὶ τὰς ἀναγνώσεις τὰς Ἐκκλησιαστικάς. ἐναντιούμενοι διὰ τούτων, εἰς τὴν ἀπόφασιν τοῦ Κυρίου ὁποῦ εἶπε, νὰ εὑρίσκωμεν τὴν ζωὴν μὲ τὴν ἐξέτασιν τῶν γραφῶν. „ ἐρευνᾶτε λέγων τὰς γραφὰς, ὅτι ἐν αὐταῖς „ εὑρίσετε τὴν ζωήν. καὶ ὁ Θεῖος Δαβὶδ Λύχνος τοῖς ποσίμου ὁ νό-

„ μοςσου, ϗ φῶς τοῖς τρίβοις μȣ. “ ἀλλ᾽ ἐκεῖνοι μὲν ὡς ἀληθῶς Θεῖοι ἄνδρες, ἐζήτȣν τὰ τȣ̃ Θεȣ̃ ἐν Ἱεροῖς Βίβλοις, οἱ νῦν δὲ ἡμεῖς γήϊνοι ὄντες, τὰ γήϊνα ἐρδυνῶμεν. καὶ περὶ χρημάτων καὶ κτημάτων Λόγος πολὺς, περὶ προσευχῆς δὲ καὶ ψυχικῆς ὠφελείας Λόγος ȣ̓δείς. πȣ̃ γὰρ ἡ ἀληθὴς ὑπακοὴ ἐνεργεῖται, ὡς καὶ ἡ παρȣ̃σα Τυπικὴ δηλοῖ διάταξις; πȣ̃ ἡ κατὰ Θεὸν ἀγάπη; πȣ̃ ἔρως τῆς μοναδικῆς ζωῆς εἰς τὸ σωθῆναι; εἴπερ ἐν τῇ ὀγδοάδι τῇ ἤδη τρεχȣ́σῃ, γίνονται τινὲς Μοναχοὶ διὰ τὸ ἀναπαυθῆναι; πȣ̃ ἡ καθαρότης ἐκείνη; οἴμοι, οἴμοι, ὅτι πολλοῖς μῦθος ταῦτα δοκεῖ. ȣ̓́τως ἐματαιώθημεν, ȣ̓́τω τοῖς γηΐνοις προσηλώθημεν. ἀλλ᾽ ἔλθωμεν εἰς αἴσθησιν ἤδη κἂν, ςοχαζόμενοι ὅτι καὶ οἱ πρὸ ἡμῶν ἄνθρωποι ὄντες, ἐκατόρθωσαν τὰς τοιαύτας ἀρετὰς, καὶ προσκαίρως λυπηθέντες αἰωνίως ἀγάλλονται. Ὅθεν ϗ ὑμεῖς οἱ ἐν Μαχαιράδι Ἀδελφοὶ, πολιτεύεσθε ἐν φόβῳ Θεοῦ κατὰ τὴν ὑποτύπωσιν τȣ̃ τῆς Μονῆς κτήτορος Ἱεροῦ Νείλȣ, ἐν ἡμέραις τȣ̃ Εὐσεβȣ̃ς Βασιλέως διευρισκομένου, Μανȣὴλ τȣ̃ Κομνηνοῦ μετὰ χίλια ἑκατὸν πεντήκοντα ἔτη ἀπὸ Χριςȣ̃ καὶ ἐπέκεινα, ὡς δηλοῖ καὶ ἡ Τυπικὴ διάταξις, Ἰδιοχείρως ȣ̓̃σα βεβαιωμένη παρὰ τȣ̃ αὐτȣ̃ κτήτορος Νείλȣ, καὶ ὑπὸ τȣ̃ τότε Ἐπισκόπȣ Ταμασέων, ὡς ἐν βεμβράναις εἴδη εὕρηται ἡ αὐτὴ, εἰς τὴν ὁποίαν δὲν φαίνεται τὸ αἴτιον τῆς ὀνομασίας τȣ̃ ὄρȣς, εἴτε ἀπὸ τὸν ἐξȣσιάσαντα πρώτως τὸ ὄρος ἐκεῖνο Μαχαιρᾶν καλȣ́μενον καὶ αὐτὸν, ἐκαλέσθη ȣ̓́τως, εἴτε διὰ τὸ ὀξὺ τȣ̃ κρύȣς καὶ διαπερασικὸν, εἴτε καὶ διὰ τὸ εὑρεθῆναι ὡς λέγεται τὴν Θεομητορικὴν εἰκόνα ἐν σπηλαίῳ τινὶ, διὰ τὴν εἰκονομαχείαν ἴσως, καὶ Μάχαιραν κεχωσμένην ἔμπροσθεν αὐτῆς, καθὰ καὶ νῦν Μάχαιραν ἔχειν οἱ ζητιάνοι ἐθίζȣσι, τὸ βέβαιον ἀγνοεῖται, ἀληθέςερον ὅμως δοκεῖ, Ἀρχαίαν εἶναι τὴν ὀνομασίαν, ϗ ἀπὸ τὸν πρῶτον Δεσπότην τȣ̃ ὄρȣς, ἐπωνομάσθη καὶ ὁ τόπος Μαχαιρᾶς, ὡς οἴομαι· ἕκαςος δὲ περὶ τȣ́τȣ φρονείτω ὡς βȣ́λεται. ἐν ὅμως ὑμεῖς σπȣδάζετε, μὲ τὴν Ὀρθόδοξον πίςιν, νὰ ἔχητε καὶ ἔργα ἐπάξια τοιαύτης πίςεως, καὶ μάλιςα πάντων τὴν Θείαν ἀγάπην καὶ ἀνυπόκριτον ταπείνωσιν, εὐλάβειαν τε εἰς τὰ Μυςήρια, ϗ φροντίδα διηνεκῆ τȣ̃ θανάτȣ. ἡ ἀνάγνωσις τῶν Ἐκκλησιαςικῶν Βιβλίων, δίδει μεγάλην ὠφέλειαν εἰς ἡμᾶς ἂν προσέχωμεν, καὶ μάλιςα τȣ̃ Ἐφραὶμ ϗ Ἰωάννου τῆς Κλίμακος, τῶν Ἁγίων ὄντως Πατέρων, καὶ ἡ παρȣ̃σα ἔτι Τυπικὴ διάταξις τῆς Μονῆς Μαχαιράδος, ἡ ὁποία Βασιλικὴ Μονὴ, εἴτε ἐκ πυρπολισμȣ̃, εἴτε ἀπὸ τὸν πανδαμάτορα χρόνον, εἴτε καὶ ἀπὸ τὰς βίας τῶν κρατȣ́ντων, ἀφῃρέθη πάντα καὶ διεφθάρη παντελῶς, καὶ ἤδη εἰς κάλλος ἦλθεν ἀπὸ τὴν σμικρότητα ȣ̓δὲ ἀκȣομένη πρότερον, παρὰ

τοῦ

τοῦ Μοναχοῦ Παρθενίου, (ἐπὶ Ἀρχιεπισκόπων Σιλβέστρου καὶ κυροῦ Φιλοθέου,) ἐν Τριάκοντα σχεδὸν ἔτεσιν Οἰκονομοῦντος αὐτοῦ, καὶ κτίσαντος πολλὰ, καὶ μοχθήσαντος, καὶ ἀδελφότητα καταστήσαντος, ὥστε δοξάζεσθαι καὶ ἐν τούτῳ τῷ Ἱερῷ Μοναστηρίῳ τὸν Θεὸν ἐν ἑσπέρᾳ, καὶ πρωῒ, καὶ μεσημβρίᾳ, καὶ τὴν ὑπέραγνον Δέσποιναν μεγαλύνεσθαι. Κτήματά τε ἐγένοντο τῇ Μονῇ, διὰ τοῦ ἤδη ζῶντος Οἰκονόμου αὐτοῦ ταπεινοῦ, Παρθενίου, καὶ καλλωπίσματα Ἐκκλησιαστικὰ, ἱκανά. εἰδὲ οὐ παύονται ἐνοχλοῦντες οἱ ἔξωθεν, ἀλλὰ πρεσβείᾳ τῆς Θεομήτορος καὶ ὁ ἐλεήμων Θεὸς οὐκ ἐλλείπει διδοὺς δύναμιν, ὥστε φέρειν πάντα μακροθύμως. εὐλογητὸς οὖν ὁ Θεὸς, ὃς οὐκ ἐᾷ ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, κατὰ τὸν Ἀπόστολον. ἀνδρίζεσθε λοιπὸν ὦ Ἀδελφοὶ καὶ κραταιοῦσθε ἐν Κυρίῳ, τρέχοντες τὴν ὁδὸν τῆς ἀρετῆς, καὶ εὐχόμενοι καὶ ὑπὲρ ἐμοῦ πρὸς Κύριον.

Ὁ Ἁμαρτωλὸς Ἐφραίμ.

ΤΥΠΙ-

# ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ.

## ΝΕΙΛΟΥ ἹΕΡΟΜΟΝΑΧΟΥ,

Καὶ Καθηγουμένου, καὶ Κτήτορος τῆς Σεβασμίας Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τοῦ Μαχαιρᾶ.
Πάτερ Εὐλόγησον.

## Α΄.

### Ὁ ΕΥΤΕΛΗΣ ΝΕΙΛΟΣ,

Καὶ ὁ Ταμασέων Ἐπίσκοπος οἰκείᾳ χειρὶ Προέταξα.

ΤΟ τῆς παρούσης ζωῆς ἡμῶν ἐφήμερόν τε καὶ διαῤῥέον, διδάσκει μὲν ἡμᾶς ἡ Θεία γραφή, ἄνθος χόρτου τὰς παροδικὰς ἡμῶν ἡμέρας καλοῦσα, ὡς ἐν τῷ βίῳ μὲν ἐξανθοῦντα, ταχὺ δὲ παρερχόμενα τῇ τοῦ θανάτου τομῇ. Διδάσκει δὲ μᾶλλον καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα, δι' ἧς τὸ γένος ἡμῶν καθ' ἑκάστην ὡς ἄσταχυν θεριζόμενον βλέπομεν, καὶ πρὸς ἑτέραν λῆξιν μεταπεμπόμενον. οὕτω τῆς προνοίας οἰκονομούσης, ἵνα τοῦ κακοῦ διακοπτομένου ἐντεῦθεν, πρὸς Θειοτέραν ζωὴν μετασκευαζώμεθα, καὶ θείαν ὄντως ἀλλοιωθῶμεν ἀλλοίωσιν, καὶ οὕτω τύχωμεν τοῦ καλοῦ. καὶ ἄλλο τὶ Θειοτερόν τε καὶ ὑψηλότερον, εἰς ἡμετέραν ὠφέλειαν, ποῖον δὴ τοῦτο; τὸν ἄδηλον δηλαδὴ καὶ ἀόριστον ὅρον τῆς ἑκάστου ζωῆς. ἵν' οὕτως ἀεὶ ἐμπαράσκευοι ὦμεν πρὸς τὴν ἐνθένδε μετάβασιν, καὶ τὰ καθ' ἑαυτοὺς, καλῶς διαθώμεθα. ὥστε τὰς ἡμετέρας γνώμας, καὶ μετὰ θάνατον,

τον, πρὸς τὸ λυσιτελὲς ἐνεργεῖν, καὶ στύλας αὐτὰς καθίσασθαι τοῖς μετέπειτα, ὧν ζῶντες ἐβουλευσάμεθα.

## Β'.

ΤΟῦτον οὖν τὸν σκοπὸν καθ' ἑαυτὸν ἀναλίττων κἀγὼ, καὶ τοῖς οἰκείοις λογισμοῖς, πρὸς τὸ ἀπαραίτητον γεγονὼς ὄφλημα, πρὸς τὴν παροῦσαν μου Τυπικὴν κεχώρηκα διάταξιν, ζῶν, καὶ τὰς αἰσθήσεις ἔχων ἐῤῥωμένας, καὶ τὸν νοῦν ὑγιᾶ, χάριτι τοῦ παντοδυνάμου Θεοῦ, διατίθημι δὲ, οὐχὶ τὰ κατ' ἐμὲ πάντως. τί γὰρ ἐμοὶ ἴδιον, ὅσον ἀπὸ τοῦ νόμου, τῶνδε Θείων Κανόνων, καὶ τῆς συνεπαμυνούσης ἐντολῆς, εἰ καὶ δι' ἡμῶν ἡ τοῦ Θεοῦ ἄφατος φιλανθρωπία, τὰ τῆς ἐπ' ἐμὲ Μονῆς, εἰς κρείττονα καὶ ὑψηλοτέραν μετεβίβασεν διαποθέντα καὶ κατάστασιν. ὡς κατωτέρω σαφέστερον δηλωθήσεται. ἀλλάγε τὰ κατὰ τοὺς ἄλλους διαλαβεστάτους μου Ἀδελφοὺς διαζωγραφῶ, καὶ ὡς ἐμψύχους εἰκόνας προτίθημι, ἅπερ οἶδα λυσιτελεῖν τοῖς ἐμοῖς λογικοῖς θρέμμασι, σωματικῶς τε ἅμα καὶ ψυχικῶς. ἐπειδὴ καὶ χρεία πολλὴ τῆς ἑκατέρωθεν θεραπείας τοῖς τοιούτοις προβάτοις ἐστίν.

## Γ'.

Ὀ Μὲν οὖν σκοπὸς τῆς παρούσης διατάξεως τοιοῦτος. πρὸς δὲ, καὶ ἑτέρα τὶς εὔλογος πάνυ αἰτία. ἵνα μὴ κατὰ τὴν ἐμὴν πρὸς Κύριον ἐκδημίαν, ἁρπαγῆς καὶ ἀναρχίας πάρεργον γένηται ἡ τοῦ προεστησομένου προχείρησις. ὅπερ εἴωθεν ἀποτίκτειν τὸ φίλαρχον, καὶ ἡ ἐντεῦθεν ὑπανακύπτουσα φιλόνεικος στάσις. ἣν ὁ πονηρὸς, ἀρχὴν λαβὼν ἀφορμῶν, καὶ ὑποδυόμενος ταύτην, τοῦ σεμνοῦ βίου, καὶ τῆς καλλίστης διαγωγῆς, θολερὰν ἀναστροφὴν ἐπάγει καὶ σύγχυσιν.

## Δ'.

ἜΤι γε μὴν, καὶ ἵνα ὁ ἀρχῆθεν παρακολουθήσας Τύπος, ἐν τῇ παρούσῃ μου διατάξει κατασφραγισθεὶς, συντηρῆται ἕως τέλους ἀνόθευτος καὶ ἀνακρωτηρίαστος πάντῃ, καθὼς καὶ ἕως τῆς δεῦρο Θεοῦ προνοίᾳ πεφύλακται.

## Ε΄.

Ἄλλοι μὲν Τύποι τῆς καθ' ἡμᾶς Ἁγίας Μονῆς, καὶ ἡ τῶ μεθ' ἡμῶν Ἡγυμενεύσαντος προχείρησις, αἵτε αἰτίαι, καὶ οἱ καιροὶ, καθ' ὓς εἴωθε πλεῖσθαι τὰ Τυπικὰ τῶ καθ' ἡμᾶς κοινοβίυ, γραφήσονται ἐν ἰδίοις κεφαλαίοις, ἐν τῷ παρόντι ἐγχειρήματι Θεῶ εὐδοκῶντος, καὶ τῆς ἀσπόρως αὐτὸν κυησάσης ἁγνῆς Θεομήτορος.

## ϛ΄.

Ἀναγκαῖον δὲ ἐπιμνησθῆναι ἡμᾶς ἐν συνοπτικῇ κοινῇ διηγήσει, καὶ παραστῆσαι προτέρῳ, ὁποῖος ὁ τόπος, ἐν οἷς ἡ καθ' ἡμᾶς εὐαγεστάτη Μονὴ ἀρχῆθεν ὑπῆρχεν, καὶ οἱ ἀναλλοίωσιν ἐπὶ τὸ κρεῖττον Ἐδέξατο, Θεῶ τῶ Παναγάθυ ταῦτα εὐδοκήσαντος.

## Ζ΄.

Γέρων τὶς Πνευματοφόρος, τὔνομα Νεόφυτος. τὸν ἀσκητικὸν διάγων δίαυλον, ἐν ταῖς ἐρήμοις ταῖς πρὸς τὸν Ἰορδάνlω ἀσκέμενος, καὶ ἄκρος γεγονὼς ἀσκητὴς καὶ τlὼ ἀρετlὼ πρεσβεύοντος, καταλείψας τὺς ἐκεῖσε τόπυς ὁ Γέρων διὰ τὰς ἀθέων Ἀγαρlωῶν ἐπιδρομlὼ, καὶ τlὼ Νῆσον καταλαβὼν, καὶ τὸ ὄρος εὑρὼν ἄβατον καὶ τραχὺ, καὶ ἔξω πάσης ταραχῆς ἀνθρώπων, καὶ πρὸς ἀσκητικὺς ἀγῶνας ἐπιτήδειον καὶ ἡσύχιον, ἠρετήσατο κατοικεῖν ἐν αὐτῷ συνεπόμενον ἔχων καὶ τὸν αὐτῶ φοιτητlὼ, τὸν Μοναχὸν δηλαδὴ Κύριλλον Ἰγνάτιον, καὶ δεῖ καλύβlω πηξάμενος, κατῴκουν ὡς πόλιν τlὼ ἔρημον. ὑπότινων δὲ φιλοχρίστων, τlὼ ἐφήμερον τροφlὼ ἐπορίζοντο, καὶ ὕτως Ἀγγελικῶς βιύντων μετέστη πρὸς Κύριον ὁ τιμιώτατος Γέρων, καταλείψας τlὼ καλύβlω καὶ τlὼ μηλωτlὼ τῷ νέῳ Ἐλισσαίῳ, ὗτος πονῶν καὶ πιεζόμενος τῇ ἐνδείᾳ τὸ κατὰ δύναμιν, τὸ τραχὺ τῶ ἀνωμάλυ τόπυ, ἤρξατο φιλοκαλεῖν, καίτινα γηραιὸν ἀσκητlὼ προσεδέξατο, τὔνομα Προκόπιον, ἔχων τῦτον μικρὸν παραμύθιον, ἀντὶ τῶ μεταστάντος Πατρὸς, καὶ ἡ μὲν προθυμία ἐνέαζεν πρὸς τlὼ φιλοκαλίαν τῶ τόπυ, ἡ δὲ χεὶρ ἐνάρκει τῇ ἐνδείᾳ πιεζομένη.

## Η΄.

Ἔπεισεν αὐτὺς λογισμὸς, πρὸς τlὼ μεγαλόπολιν ἀπελθεῖν, καὶ τῷ εὐσεβεῖ Αὐτοκράτορι δεηθlῶαι, καὶ τlὼ κατέχυσαν αὐτὺς ἔνδειαν

δειαν ἐπιδαψιλεύσαι τῷ ἐνθέῳ κράτει αὐτοῦ. ὁ δὲ καὶ τῆς δεήσεως αὐτῶν ὑπακούσας, φιλόχειστος τῷόντι καὶ χειστομίμητος, ὁ Αὐτοκράτωρ καὶ Πορφυρογέννητος, Κύριος Μανουὴλ ὁ Κομνηνός.

## Θ'.

Ἐπεχωρήγησεν αὐτοῖς, διὰ Θείου καὶ προσκυνητοῦ ὁρισμοῦ, τοῦ ἐτησίως λαμβάνειν νομίσματα τρικέφαλα πεντήκοντα. ἀλλὰ καὶ τὸ ὄρος, καὶ τὸ πέριξ αὐτοῦ, δωρεὰν ἐπεχαρίσατο. ἀλλὰ καὶ τὴν μέλλουσαν ἀνοικοδομῆσαι Μονὴν, παντὸς προσώπου ἐλευθέραν πεποίηκε. τόντε κατὰ τὴν ἐνορίαν Ἀρχιερέα, διεκώλυσε δι᾽ ἑτέρου προστάγματος, τοῦ μή τινα ἐξουσίαν ἔχειν κατὰ τῆς Μονῆς, καὶ τῶν ἐν αὐτῇ ἀσκουμένων Μοναχῶν, ἀλλὰ μόνην τὴν ἀναφορὰν ἔχειν. καὶ τοῦ Θεοῦ συναντιλαμβανομένου αὐτοῖς.

## Ι'.

Ἀνοικοδόμησαν τὸ εὐκτήριον, εἰς ὄνομα τῆς ὑπεργίας Θεοτόκου τιμώμενον, καὶ κελλίων ὀλιγοστῶν γέγονε περιποίησις. ὁ δὲ δηλωθεὶς γηραιὸς, καὶ αὐτὸς μετέστη πρὸς Κύριον, ἀπολειφθεὶς τοίνυν ὁ Μοναχὸς κύριος Ἰγνάτιος μετά τινων Ἀδελφῶν, οὐ πλείους τῶν πέντε ἢ τῶν ἕξ, ἦν τὰ τῷ Θεῷ φίλα ἐργαζόμενος. καὶ γὰρ ὁ ἀληθὴς ἄνθρωπος τοῦ Θεοῦ, οὐ τὸ ἑαυτοῦ συμφέρον ἐζήτει ἀλλὰ τῶν ὑπ᾽ ἐκείνου Ποιμαινομένων ἀνδρῶν, ὅλος γὰρ ὢν πνευματικὸς ὁ ἀνὴρ, τοὺς ὑπ᾽ αὐτὸν πάντοτε ἐστήριζεν, τοῦ γενναίως φέρειν, τὰ ἐπίπονα τῆς ἀσκήσεως. οὕτως ἡ φήμη τὸν ἄνδρα διέθεεν. καὶ ὡς πρὸς ὀσμὴν μύρου τῶν αὐτοῦ φημὶ ἀρετῶν, πάντες ἔθεον πρὸς αὐτόν.

## ΙΑ'.

Τούτῳ τῷ τρόπῳ κινηθεὶς κἀγὼ ὁ ἐλάχιστος ὤφθην μετὰ τὸ ἑξάκις χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἔτος ἀπὸ τῆς τοῦ Κόσμου κτίσεως. ἔρως γὰρ κατέλαβέ με πολὺς, τοῦ τοὺς Ἁγίους τόπους ἰδεῖν καὶ προσκυνῆσαι, καὶ τοῖς ἐκεῖσε πατράσιν ἐν ὑποταγῇ διαβιῶσαι. καὶ δεῖ θᾶττον τὸ βούλημα, ἔργον ἐγεγόνει· καὶ διαπλεύσας τὸν πλοῦν, καὶ τὴν Νῆσον καταλαβὼν, καὶ πρὸς φιλαρέτους ἄνδρας εἰς συντυχίαν ἐλθὼν, τὸ ἀθόρυβον τῆς Νήσου ἐγκωμιάζοντας, καὶ τὸν ἐρημότερον τόπον πρὸς ἄσκησιν εἶναι ἐπιτηδείως τοῖς βουλομένοις, εἰλόμην τοῖς Λόγοις τῶν θαυμασίων αὐ-

ἀνδρῶν. καὶ τούτοις δεηθεὶς, καὶ ἐκλιπαρήσας τοῦ ἐπιδεῖξαί μοι τόπον ἐφήσυχον, καὶ εἴξαντες τῇ εὐτελεῖ μου αἰτήσει, αὐτοὶ, καὶ τὸν τόπον καὶ τὸν γέροντα ὑπέδειξαν. ἐγὼ δὲ τὴν συνήθως Μοναχοῖς βαλὼν μετάνοιαν, καὶ τὰ τοῦ σκοποῦ κατάδηλα τούτῳ πάντα ποιήσας, ἔμεινα σὺν αὐτῷ, καταριθμηθεὶς τοῖς λογικοῖς προβάτοις αὐτοῦ. ἔχον δ᾽ αὐτὸν Πατέρα Πνευματικὸν, καὶ τῶν πρακτέων Καθηγητὴν, καὶ τῶν καλῶν πάντων Σωτήριον Διδάσκαλον, καὶ πρὸς τὴν ὁδὸν τῆς Μοναδικῆς πολιτείας χειραγωγὸν, ἀπλανῆ, καὶ τοῖς Θεαρέστοις αὐτοῦ ὑπείκων ἀεὶ θελήμασιν. ἀπαρνησάμενος γὰρ παντάπασι τὸ οἰκεῖον θέλημα, εἰς πάντα γέγονα τὸ ἑαυτοῦ, χεὶρ, πούς, βακτηρία τοῦ γήρους, συναντιλαμβανόμενος, καὶ συμπονῶν αὐτῷ πρὸς τὴν τῆς Μονῆς περιποίησίν τε καὶ σύστασιν. ἀλλὰ καὶ τῆς Νήσου πιεζομένης τῷ λιμῷ καὶ αὐχμῷ, ἐξαπεστάλην παρ᾽ αὐτοῦ εἰς τὰ τῆς Κιλικίας μέρη πρὸς διακονίαν καὶ ἐπισιτισμὸν τῶν σὺν ἐμοὶ ἀσκουμένων συναδελφῶν. ἀλλὰ καὶ πᾶσαν διακονίαν τῆς Μονῆς διηκόνησα παρ᾽ ὅλην τὴν ἐκείνου ζωήν. καὶ γὰρ κατὰ γνώμην αὐτοῦ καὶ θέλησιν πάντα ἔπραττον. ἐκεῖνος δὲ ὁρῶν με Θεοῦ χάριτι πάντα πρὸς θεραπείαν αὐτοῦ καὶ φρονοῦντα, καὶ πράττοντα, τί ποιεῖ;

## ΙΒʹ.

Διάταξιν ἐκθέμενος ἔγγραφον, εἰς προστασίαν με τῶν ἀδελφῶν ἐξελέξατο. τὸ τῆς προστασίας, καὶ τῆς Ἡγουμενίας Λειτούργημα ἀναθέμενος. κἀγὼ τοίνυν, εἰ καὶ φορτικὸν ἴσως δόξει τὸ μέλλον ῥηθήσεσθαι, οὐ φορτικὸν δὲ πάντως τοῖς εἰδόσι τὰ κατ᾽ ἐμέ.

## ΙΓʹ.

Τὴν προστασίαν ἀνεβαλόμην, ὅλος σύνδακρυς γεγονὼς, καὶ τῇ γῇ προσεῤῥίσας τὸ πρόσωπον, τῆς προστασίας τὸ βάρος ἐζήτουν ἀποῤῥίψασθαι. ὁ δὲ ἠπίαις τισὶ καὶ μελιῤῥύτοις διδαχαῖς ἀνεκτήσατο. οὐ δίκαιον ἔφη τέκνον τοῖς τοῦ Θεοῦ ἀνεφίκτοις κρίμασιν ἀντιτείνειν, ἢ ἀντιλέγειν τὸ σύνολον. ἃ γὰρ ὁ Θεὸς βεβούλευται, τίς ἱκανὸς διασκεδάσαι; ὡς γὰρ οἶδεν ἡ ἄφατος αὐτοῦ εὐσπλαγχνία, οὕτως τὰ κατὰ σὲ οἰκονομήσει, ὥστε τὸν τραχὺν καὶ αὐχμηρὸν τοῦτον τόπον ὑπὸ σοῦ λαμπρυνθῆναί τε καὶ φαιδρυνθῆναι, καὶ πολλῶν ψυχῶν γενήσει πρόξενος Σωτηρίας, καὶ εἰς πλατισμὸν ἀγάγῃς Θεοῦ εὐδοκοῦντος σοι, καὶ τῆς Ἁγνῆς Θεομήτορος, τὸ ἀφανὲς καὶ μικρὸν τοῦτο Ποίμνιον, καὶ ὅρους καὶ τύπους ἐκθήσεις αὐτοῖς, εἰς Μοναδικὸν βίον καὶ ἀσφάλειαν ἄγοντας. ἔχεις ἀεὶ

δοκοῦντά σοι, τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, καὶ τὰς εὐχὰς τῶν Ἁγίων Πατέρων ἡμῶν. ἐγὼ δὲ τὴν συνήθη βαλὼν μετάνοιαν, ἤτουν συγγνώμην, καὶ τὸ πᾶν ἐπὶ τῷ Θεῷ ἀνεθέμην, ὁ δὲ τοὺς ὀφθαλμοὺς πλήσας δακρύων, καὶ πρὸς τὸν πάντα ἐφορῶντα ἀναβλέψας, καὶ συγγνώμην ἔνειμεν, καὶ ἐπηύξατο τοῦ δοθῆναι ἡμῖν δύναμιν ἐξ ὕψους. ἐγὼ δὲ τῆς ἐκείνου νουθεσίας καὶ γνώμης εἰχόμην. καὶ οὔτε ἐκεῖνος τῶν ἐπ' ἐμὲ ἐλπίδων διήμαρτεν, οὔτε μὴν ἔγωγε ἀπέτυχον, ὥσπερ ἐπὶ Θεῷ πέποιθα, τῶν ἐκείνου Ἁγίων εὐχῶν. δι' ὧν ἕως τοῦ νῦν συντηρούμεθα. εἰς ἐπίδοσιν μᾶλλον ἔσπευσα προελθεῖν, εὐδοκίᾳ Θεοῦ, τὴν ὑπ' ἐμὲ Σεβασμίαν Μονήν.

## ΙΔʹ.

Ἀλλ' ἀναγκαῖον δὴ ἐπισυνάψαι τῇ διηγήσει, τὰ μετὰ τὴν τοῦ Πατρὸς κοίμησιν, καὶ ὅπως αὖθις ἐν στενῷ περιέστη τὰ τῆς Μονῆς, καὶ οἷον ἐν τοῖς ἀπόροις, πόρον ὁ Θεὸς ἡμῖν ἐδωρήσατο. αὕτη γὰρ ἐστὶν ἡ ἀψευδὴς ἐκείνη φωνή, ἡ φησίν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείψω. ἧς τῇ ἐλπίδι, μετήλθομεν εἰς ἀναψυχήν. ἀπὸ τῆς πολλῆς ὀλιγωρείας καὶ καταιγίδος, ἣν ἡμῖν ἡ τῶν ἡμετέρων ἁμαρτημάτων πληθὺς προεξένησε, διὰ τὸ ἀνομβρείᾳ καταχεθῆναι τὴν Νῆσον ἐπὶ τρισὶ χρόνοις, καὶ πάντας συντριβῆναι καὶ ἀφανισθῆναι.

## ΙΕʹ.

Ἡμᾶς δὲ ἡ ἄφατος αὐτοῦ φιλανθρωπία, ἀντελάβετο, καὶ δαψιλῶς ἐπεχορήγησεν ἅπαντα τρόπῳ τοιῷδε. καὶ γὰρ τῶν φιλοχρίστων καὶ πιστῶν ἀνθρώπων τινὲς συνήργησαν εἰς ἐπικουρείαν ἡμᾶς, καὶ προσόδους ἐξ οἰκείων κτημάτων ἀφιέρωσαν τῇ Μονῇ, καὶ αὐτοκινήτων, ἃ καὶ δεσπόζονται παρ' ἡμῶν. τὴν Ἐκκλησίαν τε ἀνεγείραμεν, καὶ φαιδρῶς ταύτην κατεκοσμήσαμεν. ἣ καὶ ὁρᾶτε τὴν σήμερον. ὡσαύτως καὶ ἡ νῦν ὁρωμένη τράπεζα. χάρακά τε κύκλῳ αὐτῆς πεποιήκαμεν, καὶ κέλλας ἀνοικοδομήσαμεν, εἰς οἵαν νῦν ὁρᾶται κατάστασιν. ὁδύσβατος οὖν ἐκεῖνος τόπος καὶ σκολιὸς, μετημείφθη μετὰ πολλοῦ κόπου, εἰς ὁμαλότητα. καὶ κοινόβιον ἀποκαταστήσαμεν, Χριστοῦ χάριτι, συνεργούσης ἡμῖν ἐφ' ἅπασι τῆς Ἁγνῆς Θεομήτορος, ἐπιχορηγήσει δὲ καὶ εἰς τὸ ἑξῆς καθὼς καὶ πεποίθαμεν, καὶ ἐπεύχομαι.

## Ις'.

Ἐπεὶ δὲ κατὰ κανονικὴν ἀκολουθείαν, εἰκὸς ἦν ἡμᾶς ἀναλαβέσθαι καὶ σταυροπήγιον ἐπὶ τῇ ἀνεγέρσει καὶ καθιερώσει τοῦ Θείου Ναοῦ, τοῦτο δεῖ καὶ πεποιήκαμεν, καὶ σταυροπήγιον ἐλαβόμεν, παρὰ τοῦ Πανιερωτάτου Ἐπισκόπου Ταμασίας κυροῦ Νικήτα τοῦ ἁγιοστεφανίτου. κατὰ τὸν Θεῖον καὶ προσκυνητὸν ὁρισμὸν, τοῦ Εὐσεβοῦς Βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, τοῦ ἔχειν τὴν ἀναφορὰν, καὶ μόνην.

## ΙΖ'.

Ἀλλὰ καὶ ὁ Μακαρίτης ἐκεῖνος Πατὴρ ἡμῶν, Μοναχὸς κύριος Ἰγνάτιος, οὕτως διετάξατο, πρὸ τῆς αὐτοῦ πρὸς Κύριον ἐκδημίας. ὅτι τὸν κατὰ τὴν ἐνορίαν Ἀρχιερέα, ἔχειν τὴν ἀναφορὰν καὶ μόνην, κατὰ τὸν Θεῖον καὶ προσκυνητὸν ὁρισμὸν, καὶ τὴν προχείρισιν τοῦ κατὰ τὴν ἡμέραν Ἡγουμενεύοντος, ὅνπερ πρότερον οἱ Ἀδελφοὶ ἐκλέξονται καὶ ψηφίσονται, ὡς δόκιμον εἶναι τῆς προστασίας, τοῦτον αὐτοῖς προχειρίσεται. μὴ κατά τινα ἀνακρίνας τὸν ψηφισθέντα.

## ΙΗ'.

Ὅπερ καὶ πεποίηκεν ὁ Πανιερώτατος ἐκεῖνος κύριος Νικήτας ὁ ἁγιοστεφανίτης. αὐτὸς ἡμῖν καὶ τὴν προχείρισιν δέδωκε, καὶ τὴν διάταξιν τοῦ Πατρὸς οἰκείαις χερσὶν ἐπιστώσατο, καὶ τοὺς μετ' αὐτοῦ, ἐπιτιμίοις φρικωδεστάτοις κατέδησε.

## ΙΘ'.

Εἰ δ' ἴσως πειραθῇ τις, ἀπὸ τῶν κατὰ καιρὸν τοὺς οἴακας τῆς ἁγιωτάτης Ἐπισκοπῆς ἀναδεξαμένων, ἐπιβαλεῖν χεῖρα προφάσει τοῦ σταυροπηγίου, καὶ τῆς ἀναφορᾶς, μὴ εἰσακουέτω, ἀλλὰ τὸν κατὰ καιρὸν ἐνεργοῦντα ἐκ προσώπου τοῦ Ἁγίου ἡμῶν Βασιλέως, οἱ Ἀδελφοὶ δεηθήσονται, καὶ τὸ παρὸν Τυπικὸν αὐτῷ ὑποδείξουσι, καὶ τὴν ὁρμὴν ἀναστείλῃ τοῦ πειραζομένου, κινεῖν, τὰ ἀκίνητα.

## Κ'.

ΤΟῖς δέγε σέργουσι, καὶ ἐμμένουσιν, εἰς τὴν ἄνωθεν παρακολουθοῦσαν συνήθειαν, διορίζομαι ἔχειν τὴν ἀναφορὰν, ἐν πάσαις ταῖς ἑσπεριναῖς καὶ ὀρθριναῖς δοξολογίαις τε, καὶ συνάξεσι, ζῶντας καὶ μετὰ θάνατον.

## ΚΑ'.

ΕΝτελλόμεθα δὲ πᾶσιν ἀπὸ Θεοῦ Παντοκράτορος, ἐλευθέραν τηρεῖσθαι καὶ ἀκαταδούλωτον, τὴν παρ' ἡμῶν ἐκβάθρων ἀνεγερθεῖσαν Ἁγίαν ταύτην Μονὴν, αὐτοδέσποτον, καὶ μηδέτισιν ὑποκειμένοις δικαίοις τυχὸν Βασιλικοῖς, ἢ Ἐκκλησιαστικοῖς, ἢ προσωπικοῖς. ἀλλ' ὑπὸ μόνῳ Θεῷ, καὶ τῇ ἀχράντῳ αὐτοῦ Μητρὶ, καὶ τοῦ κατὰ τὴν ἡμέραν Ἡγουμενεύοντος, ἀφορᾶσθαι, καὶ κυβερνᾶσθαι καὶ διϊθυνέσθαι. εἰ δὲ καὶ τὶς βουληθείη ποτὲ καθ' οἷον δή τινα τρόπον, ἐν οἵῳ δή ποτε χρόνῳ, καταδουλώσασθαι ταύτην, ἢ ὑπαγάγεσθαι, ἢ ὑπ' ἐξουσίαν τινὸς ποιήσασθαι, οἷος ἂν καὶ ἐστὶ τῶν πάντων ἀνθρώπων, ὁ τοῦτο τολμήσας, ἔνοχος ἔσω τῷ Θείῳ σώματι καὶ αἵματι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὴν Ἁγνὴν Θεομήτορα ἀντίδικον καὶ πολέμιον ἕξει, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. αὕτη δὲ πάλιν ἐλευθέρα πάσης ἐξουσίας ἀνθρώπων διαμείνη.

## ΚΒ'.

ΑΝαγκαῖον δὲ πρὸς τὸν εἱρμὸν καὶ τὴν Ἀκολουθείαν τῆς διηγήσεως, ἐπισυνάψαι τὰ ἐλλείποντα πρὸς τοῖς ἀνωτέρω ῥηθεῖσι. καὶ γὰρ ἐξαποστάλησαν ἀφ' ἡμῶν Ἀδελφοὶ, πρὸς τὸν Εὐσεβῆ Αὐτοκράτορα κύριν Ἰσαάκιον τὸν Ἄγγελον, καὶ τῇ αὐτοῦ Βασιλείᾳ δεηθέντες, ἐπεκυρώθησαν τὰ χρυσόβουλλα τοῦ ἀοιδίμου Βασιλέως, διὰ τῆς Θείας αὐτοῦ χειρός. ἡμῖν δὲ ἀλλὰ καὶ κῆπον ἀπεχαρίσατο, τῇ ἡμετέρᾳ Μονῇ, ἀπὸ τῶν κατὰ Λευκοσίαν Βασιλικῶν, καὶ ἐκκοπὴν νομισμάτων ὑπερπύρων δώδεκα.

## ΚΓ'.

ΑΛλὰ δὴ καὶ ὁ φιλόχριστος τῷόντι καὶ χριστομίμητος Αὐτοκράτωρ, κύρις Ἀλέξιος ὁ Ἄγγελος ἐπόριζε τῇ ἡμῶν Ἁγίᾳ Μονῇ διὰ Θείου

καὶ

καὶ προσκυνητοῦ χρυσοβούλλου, πάντων τῶν ὅθεν δήποτε προελθόντων τῇ Μονῇ ἀκινήτων πραγμάτων, παντελῆ ἀτέλειαν, καὶ ἐλευθερίαν ἐδωρήσατο εἰς τὸν αἰῶνα τὸν ἅπαντα. σὺν παροίκοις εἴκοσι καὶ τέσαρσι. οὗ καὶ διορίζομαι ἔχειν τὸ μνημόσυνον, οὐ καὶ τὸ ἐξ ἔθους λεγόμενον, τὸ, ἔτι δεόμεθα ὑπὲρ τῶν Εὐσεβεστάτων, ἀλλ' ἰδίως ἐν ταῖς ἁπάσαις λιταῖς τῆς Ἀγρυπνίας, μετὰ τὸ εἰπεῖν, Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

## ΚΔ'.

Ἐπιδεόμεθα ὑπὲρ τοῦ Εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν Βασιλέως Ἀλεξίου, Κύριε ἐλέησον κ'. καὶ μετὰ τὸ μεσονυκτικὸν, καθὼς κατωτέρω δηλωθήσεται.

## ΚΕ'.

Ἐπεὶ δὲ καὶ παρὰ πιστῶν καὶ φιλοχρίστων ἀνδρῶν, ἕτερα τινὰ ἀκίνητα ἀφιερώθησαν τῇ Μονῇ. ὧν τὸ, κατ' εἶδος, ἡ ἰδιάζουσα πάντως παραστήσει γραφή.

## Κϛ'.

Πρὸ πάντων φημὶ τῶν ἄλλων τὸ κάλλιστον καὶ ὑψηλότατον κεφάλαιον, λέγω δὴ τῆς Ἁγίας Ἐκκλησίας, φωτολαμπῆ δαδουχίαν διορισώμεθα. κατώτερον δὲ, σαφέστερον σαφηνίσωμεν περὶ ψαλμῳδίας, καὶ τῆς λοιπῆς καταστάσεως. ἐπὶ ταῖς καθ' ἑκάστην δοξολογίαις, καὶ πάσαις συνάξεσι, πᾶσι λαμπᾶσιν ὡς σύνηθες αὐγασθήσονται, οὐ μὴν δὲ ἀλλ' ἰσαρίθμους καὶ ἀκοιμήτους, νύκτωρ καὶ μεθ' ἡμέραν κανδήλας ἐφάψονται ἐν ἑκατέροις τοῖς Ἁγίοις Θυσιαστηρίοις, καὶ τοῖς Ἱεροῖς καὶ Θείοις προσκυνήμασι, σὺν τοῖς τοῦ χοροῦ δώδεκα, καὶ ταῖς δυσὶ τοῦ νάρθηκος αἳ ἔχουσι τὸ ἐπάρδον αὐταῖς ἔλαιον, ἀνυστερήτως ὡς σύνηθες.

## ΚΖ'.

Τὰς δὲ ἐπισήμους καὶ λαμπρὰς Ἑορτὰς, λαμπρῶς ἑορταστέον. κατ' ἐξαίρετον δὲ τὴν τῶν Ἁγίων Εἰσοδίων. τῆς γὰρ πύλης ἀνοιγομένης, πάντας τοὺς παραβαλόντας μετὰ χαρᾶς δεχθησόμεθα, καὶ φιλοφρόνως αὐτοὺς ἀναπαύσωμεν, καὶ δαψιλῶς εὐφρανθήσονται. οὕτω γὰρ ποιοῦντες, ἕξετε τὸ Θεῖον, δαψιλῶς ἐπιχορηγὸν ἡμῖν τὴν εὐ-

λογίαν ἑκατονταπλασίονα, κατὰ τὴν ἀψευδῆ αὐτοῦ καὶ Θείαν φωνήν.

## ΚΗʹ.

Τὰς δὲ ἑτέρας καὶ Θείας ἑορτὰς τῆς Ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἤτοι, τὸ Γενέθλιον, τὴν Σύναξιν, τὴν Ὑπαπαντὴν, καὶ τὴν τὴν τοῦ Εὐαγγελισμοῦ, καθὼς ἀνωτέρω δεδήλωται, οἱ Ἀδελφοὶ μετὰ τοῦ προεστῶτος, καὶ ἑορτάσουσι καὶ παρακληθήσονται οἴκοθεν. ἰχθύας γὰρ αὐτοῖς ὠνιστέον, καὶ εὐλογία δοθήσεται οἴνου κατὰ τὸ σύνηθες, καὶ δαψιλῶς εὐφρανθήσονται.

## ΚΘʹ.

Ἀλλὰ καὶ τὴν παγκόσμιον Ἑορτὴν τῆς Κοιμήσεως, ἑορταστέον λαμπρῶς, πλὴν οὐχ ὡς τὰ Ἅγια τῶν Ἁγίων, ἀλλὰ δώδεκα μόνον Ἱερεῖς προσκλητέον, καὶ τὴν ἔξοδον τῆς Κυρίας ἡμῶν ἑορταστέον. καὶ τοῖς πένησι ἐπιμελητέον τὸ κατὰ δύναμιν, καὶ μὴ ἔνδειαν προβαλεῖτε, καὶ τὴν τῶν εἰσοδιαζομένων σπάνιν. ἀφθονωτέρως γὰρ τὰς ἐπικτήσεις, πρὸς τὰς ἀναλογούσας ἐξόδους τῇ Μονῇ πεποιήκαμεν, καὶ ἀφιερώματα διὰ πρεσβειῶν τῆς ὑπεραγίας Θεοτόκου. ἐν αὐτῇ τῇ ἑορτῇ οὖν καταλύομεν σταφυλὰς, καθὰ καὶ τὸ τῆς Ἐκκλησίας διέξεισι Τυπικόν.

## Λʹ.

Ἐπειδὴ δὲ πῆξιν λαβοῦσαν αἰσίαν τὴν Ἁγίαν ταύτην Μονὴν, ἐχρῆν καὶ Τύπον ἔχειν καὶ κανόνα ἠκριβωμένον, τῆς Ἐκκλησιαστικῆς καταστάσεως, καὶ τῆς ἄλλης τοῦ κοινοβίου διαγωγῆς, τὰ μὲν τῆς Ἐκκλησιαστικῆς Ἀκολουθίας καὶ τάξεως, ἰδιαζόντως ἀνεγραψάμεθα. ἀναγκαῖον δὲ, καὶ ὅσα μὲν ἐκείνῳ παρελείφθη τῷ τόμῳ, ἐκ παραδόσεως δὲ καὶ εἰς ἡμᾶς μετηνέχθη, παραδοῦναι γραφῇ, τοῦτο μὲν, ἵν᾽ εἶεν πᾶσιν εὐσύνοπτα, τοῦτο δὲ, ἵνα μὴ ὑπονοθεύηταί τι παρά τινος. προσεκτέον τοιγαροῦν ἀκριβέστατα τοῖς ῥηθησομένοις, ὧν ἄρξασθαι βουλόμεθα, ὅθεν ἄμεινον, ἄμεινον δὲ ἀπὸ τῆς τὸ φῶς ἡμῖν ἐφαπλούσης ὥρας, ἥτις ἡ πρώτη τῆς ἡμέρας ἐστί. δεῖν δὲ οἶμαι πάντως, τοὺς περίεργον φωτὸς τὴν ἐξήγησιν ποιησομένους, ἀπὸ φωτὸς ἄρξασθαι.

## ΛΑʹ.

Χρὴ τοίνυν μετὰ τὴν ὀρθρινὴν δοξολογίαν, συνημμένως ψάλλεσθαι ἀφ' ἡμῶν τὴν πρώτην ὥραν ὡς σύνηθες. καὶ μετὰ τὸ τέλος αὐτῆς, τοῦ εἰωθότος τελουμένου ἐν τῷ νάρθηκι, Τρισαγίου, λέγει ὁ Ἱερεύς, Εὔξασθε ὑπὲρ τοῦ Ἁγίου Πατρὸς ἡμῶν, καὶ ὑπὲρ τῶν Ἁγίων Πατέρων ἡμῶν καὶ Κτητόρων, καὶ μετὰ τὴν συμπλήρωσιν, ἐν τοῖς κελλίοις ἡμῶν ἀπιέναι, πάσης ἀφεμένους συνελεύσεώς τε καὶ ματαίας ἀπασχολίας, ἀργολογίας τε, καὶ γέλωτος ἀτάκτου. ἀφ' ὧν τί συμβαίνει; τὸ καὶ εἰς αἰσχρολογίας δηλονότι παρεκπεσεῖν, καὶ λοιδορίας, καὶ κατακρίσεις. ὡς ἐντεῦθεν τόν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**Ἐλλείπεται Φύλλον ἕν, ἔνθα τὸ λβʹ. καὶ λγʹ. περιέχεται Κεφάλαιον.**

## ΛΔ'.

Πρὸς δὲ τὸ δωδεκαήμερον τῆς Χριστοῦ Γεννήσεως, καὶ τὴν Πεντηκοστὴν ἅπασαν, ἔτιγε μὴν, καὶ πάσας τὰς Δεσποτικὰς ἑορτὰς, καὶ αὐτὰς τῶν δώδεκα Ἁγίων Ἀποστόλων καὶ πάντων Ἁγίων μνήμας Μεγάλων, ἐν αἷς εἰώθαμεν Αἰγυπτιακῶς ποιεῖν, ὡσαύτως καὶ τὸ ψάλλειν τὰ μεσώρια ἐν τοῖς κελλίοις, ἀλλὰ καθ' ὅλην τὴν Ἁγίαν Πεντηκοστὴν αὐτὰ φυλαξώμεθα κατὰ τὴν πρώτην Ἑβδομάδα ταύτης, καὶ τὴν ἐσχάτην, τῆς Ἐγκαινισίμου τε φημὶ, καὶ τὴν τοῦ Ἁγίου Πνεύματος.

## ΛΕ'.

Κρουομένου τοίνυν τοῦ συμβόλου κατὰ καιρὸν τὸν προσήκοντα, συνάγεσθαι δεῖ πάντας ἐν τῷ νάρθηκι, κἀκεῖσε ψάλλειν ὁμοῦ τὴν τρίτην ὥραν καὶ τὴν ἕκτην μετὰ τῶν μεσωρίων, κατὰ μέντοι τὴν ἔναρξιν τῆς ἕκτης ὥρας, δεῖ ποιεῖν γονυκλισίαν τῷ προεστῶτι, τόντε Ἱερέα καὶ τὸν Διάκονον, τοὺς τὴν ἐφημερίαν ἔχοντας, καὶ τὸν κανδηλάπτην σὺν αὐτοῖς. καὶ τοὺς μὲν, εἰσέρχεσθαι εἰς τὸ Ἅγιον Βῆμα, ποιήσοντας τὴν Θείαν προσκομιδὴν, τὸν δὲ ἀπέρχεσθαι κρούσοντα τὸν μέγα Σημαντῆρα.

## Λϛ'.

Ἀλλὰ τῆς μὲν τρίτης καὶ ἕκτης ὥρας ἐν ταῖς ἀπολελυμέναις ὥραις τοῦ ἐνιαυτοῦ, ὧδέπως ἐχέτω. ῥητέον δὲ ἄρα καὶ περὶ τῆς Θείας Μυσταγωγίας. ἥτις χρεωστικῶς καθ' ἑκάστην ὀφείλει τελεῖσθαι. πλὴν, ἀλλ' ἐν ταύτῃ προσεκτέον Ἀδελφοὶ ἀσφαλῶς ἑαυτοῖς. ὅτι τε Θεῖα τὰ ἐν αὐτῇ τελούμενα καὶ φρικώδη. καὶ ὅτι μᾶλλον τῶν ἄλλων ταύτῃ, τὸ φρικτόν τε καὶ ὑπέρμεγα τῆς Ὀρθοδόξου καὶ Θείας ἡμῶν πίστεως τελεσιουργεῖται Μυστήριον, ἡ Θειοτάτη φημὶ καὶ ὑπέρτιμος Ἱερουργησις, τοῦ παναχράντου σώματός τε καὶ αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν αὐτῇ οὖν ὡς εἴρηται.

## ΛΖ'.

Προσεκτέον ἐν ἑαυτοῖς Ἀδελφοὶ ἀκριβῶς, ὅτι καὶ μάλιστα, καὶ πάντα λογισμὸν ζιζανιώδη τε καὶ ἀκάθαρτον, καὶ τῆς φρικτῆς ἐκείνης Ἱερουργίας ἀνάξιον ἀφ' ὑμῶν ἐκδιωκτέον. καὶ παντὶ τρόπῳ ἑαυ-

τὰς καθαρτέον, καὶ οὕπω τε τῶν Θείων ἁγιασμάτων μεταληπτέον, πλὴν ὅσοις ἄρα καὶ παρὰ τοῦ προεστῶτος συγκεχώρηται· οὐδὲ γὰρ ἔξεστιν ὑμῶν τινὶ, ἀδεῶς οὕτω καὶ ἀκρίτως, οὐδὲ κατὰ πᾶσαν ἡμέραν μεταλαμβάνειν, ἐβουλόμεθα μὲν γὰρ τοῦτο αὐτὸ συνεχῶς μετέχειν τῶν Θείων ἁγιασμάτων, ὡς συνεχῶς ἔτι μετέχειν καὶ τῆς ζωῆς, καθὰ φησὶ καὶ αὐτὸς ὁ Χριστός. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. καὶ πάλιν ἐὰν μὴ φάγητέ μου τὴν σάρκα, καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. καὶ ὁ Θεῖος Ἀπόστολος, ὁ κολλώμενος τῷ Θεῷ ἓν σῶμα ἐστίν. ὥσπερ καὶ τοὐναντίον, οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. Δαβὶδ δὲ ὁ Θεῖος φησίν. ἐβουλόμεθα μὲν οὖν ὡς εἴρηται τοῦτο, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τὸ τοῦ πράγματος δυσχερὲς, οὐκ ἐπιτρέπομεν. ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου, ἔνοχος ἔσται, τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος, φησὶν ὁ Θεῖος Πνευματορήτωρ, καὶ πρῶτος τῶν Ἀποστόλων Παῦλος. φοβερὸν Ἀδελφοί μου τὸ ῥῆμα, καὶ τρέμειν τὴν μετάληψιν οὐ τοὺς κατ' ἐμὲ ἁμαρτωλοὺς, ἀλλὰ καὶ τοὺς λίαν ἑαυτοῖς θαῤῥοῦντας πείθει. ἐκείνους τοιγαροῦν, ἅπαξ τῆς Ἑβδομάδος μεταληπτέον, ὅσοιπερ ἑαυτοὺς ἴσασι καθαρεύοντας τῶν αἰσχρῶν λογισμῶν, καὶ τῆς τούτων συγκαταθέσεως, ὀργῆς τε μὴν καὶ γογγυσμοῦ, λύπης τε καὶ καταλαλιᾶς ψεύδους καὶ γέλωτος ἀτάκτου. ἔτι τε μνησικακίας μᾶλλον καὶ θυμοῦ, αἰσχρολογίας τε, καὶ τῶν ὁμοίων. τοὺς δέ γε τοῖς εἰρημένοις περιπίπτοντας πάθεσι, δι' ἐξαγορεύσεως καὶ μετανοίας πρὸς τὴν τούτων ἀποδιδόντας ἀποχὴν δὶς τοῦ μηνὸς μεταληπτέον, ἢ οὐδ' ὅλως, κατὰ τὴν τοῦ προεστῶτος δηλονότι διάκρισιν. Ἐκείνῳ γὰρ φροντιστέον, περὶ τῶν τοιούτων.

## ΛΗ'.

Ἀκοινώνητον δὲ τινὰ αὐτὸν ἡγεῖσθαι ἄνευ τῆς ἐκείνου εἰδήσεως, οὐκ ἐπαινετέον. ὁ γὰρ οὕτω ποιῶν, ὡς ἴδιον πληρῶν θέλημα δικαίως κατακριθήσεται.

## ΛΘ'.

Τοὺς μέντοι μεταλαμβάνειν ὀφείλοντας, ἐνδεχόμενον ἐστὶ τὰς προτυπωμένας ἐπὶ τῇ μεταλήψει προσεκτικώτερον ἀναγινώσκειν εὐχὰς, κοινῇ τε κοινῶς γονυκλισίαν ἀλλήλοις ποιοῦντας, διδόναι συγχώρησιν. καὶ οὕτω τῶν ζωοποιῶν εὐχαρίστως μεταλαμβάνειν Ἁγιασμάτων. ὅπως δὴ οὖν καὶ ταῦτα τοῦτον ἔχοντα τὸν τρόπον.

## Μ΄.

Ἀλλ᾽ ἐν ταῦθα μὲ τοῦ Λόγου γενόμενον, χρεὼν εἰπεῖν καὶ περὶ τῶν εἰς θυσίαν ζῶσαν Ἁγίαν καθαρὰν καὶ ἀναίμακτον προσφερομένων τῷ Ἁγίῳ Θυσιαστηρίῳ προσφορῶν καὶ τοῦ νάματος. ἵνα μὴ ἀμελείας τινὸς ἴσως ἢ καταφρονήσεως περὶ τὰ τοιαῦτα παρεμπιπτούσης, λάθωμεν περὶ αὐτὸ ἑκὼν σφαλλόμενοι, τὸ μεῖζον καὶ ὑψηλότερον. εἰ γὰρ Κάϊν δι᾽ αὐτὸ τοῦτο καταδεδίκασται, τὸ μὴ τὰ κρείττω προσαγαγεῖν τῷ Θεῷ, ἀλλ᾽ ἑαυτῷ τηρῆσαι ταῦτα καὶ ταμιεύσασθαι. δέδοικα μὴ καὶ ἡμεῖς τῇ τοιαύτῃ καταδίκῃ εὑρεθείημεν ὄντες ὑπεύθυνοι. εἴγε δὴ μὴ τὰ κρείττω τῷ πάντων δοτῆρι καὶ χορηγῷ προσενέγκωμεν. τοῦτό τοι, καὶ ἐντελλόμεθα, μὴ ἐκ τῆς κοινῆς ζύμης, ἀφ᾽ ἧς καὶ οἱ τοῖς τραπέζης ἄρτοι τὰς προσφορὰς γίνεσθαι, ἀλλ᾽ ἄλευρον διακαθαίρεσθαί τε καὶ φύρεσθαι, κἀκ τούτου προσφορὰς ἀπαρτίζεσθαι, καθαρωτάτας παντάπασι. καὶ νάμα δὲ δίδοσθαι ἀπὸ τοῦ κρείττονος οἴνου τῶν γεωργουμένων ἐν τῇ Μονῇ. ἀφ᾽ ὧν εἴγε διαιροῖτο ὁ προεστὼς, ἐσθίειν καὶ πίνειν ἐν τῇ τραπέζῃ, ἢ καὶ οὓς αὐτὸς οἶδε μὴ ὑγιῶς τοῦ σώματος ἔχοντας, οὐδέν τι καταχρησθήσονται.

## ΜΑ΄.

Τὴν μέντοι ἐννάτην ὥραν, καὶ τὸ ταύτης μεσώριον, οὕτω ψαλτέον. μετὰ τὸ διαναστῆναι ὑμᾶς ἀπὸ τῆς ἐν τῇ κοινῇ τραπέζῃ ἑστιάσεως, τοῦ, Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτὸν, τρεῖς παρὰ τῆς ἀδελφότητος ψαλλομένου, καὶ τοῦ συνήθως σὺν αὐτῷ Τρισαγίου, τοῦ Ἱερέως τε τὴν εὐχὴν ἐπιλέγοντος ταύτην, εὐλογητὸς ὁ Θεὸς ὁ τρέφων ἡμᾶς ἐκ νεότητος ἡμῶν, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε νῦν. εὐθὺς ἀρχόμεθα τοῦ ρκα΄. Ψαλμοῦ. Ηὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευσόμεθα. καὶ τοῦτο ψάλλοντες ἐξερχόμεθα τὸ ἀριστήριον μετὰ τῆς προσηκούσης εὐκοσμίας καὶ καταστάσεως, καὶ ἀπερχόμεθα εἰς τὸν νάρθηκα τοῦ Ναοῦ. κἀκεῖσε τὸν τοιοῦτον ἐκπληροῦντες Ψαλμὸν, ἀρχόμεθα τοῦ Τρισαγίου, καὶ ψάλλομεν τὴν ἐννάτην. μετὰ δὲ τὴν ταύτης ἐκπλήρωσιν, τοῦ Ἱερέως συνήθως ἐπευχομένου, γίνεται πάλιν ἡ προγραφεῖσα κοινὴ συγχώρησις παρὰ τοῦ προεστῶτος, καὶ τῆς ἀδελφότητος, καὶ ἀπολυόμεθα ἐν τοῖς κελλίοις ἡμῶν.

## ΜΓʹ.

Τὴν μέντοι τοῦ ἑσπερινοῦ ὕμνου Ἀκολουθίαν οὕτως ὀφείλει τελεῖσθαι, ἡ τοῦ τῆς Ἐκκλησίας Τυπικοῦ διάταξις ἀριδήλως παρίστησιν, οὗ κατὰ τὸ τέλος μετὰ τοῦ ἐν τῷ νάρθηκι συνήθως Τρισαγίου, προσήκει πάλιν γίνεσθαι τὴν προγραφεῖσαν κοινὴν μετάνοιαν καὶ συγχώρησιν.

## ΜΔʹ.

Καὶ τὰ Ἀπόδειπνα δὲ μετὰ τὸν δεῖπνον ὀφείλομεν ψάλλειν, ἐν οἷς καὶ γονυκλιτέον, ὅτε μὴ ἑορταστέον. Ἑορτὴν δὲ λέγομεν, ἐν ᾗ κατὰ τὸν ὄρθρον, τὸ, Θεὸς Κύριος ψάλλομεν. καὶ τοῦ Ἀποδείπνου δὲ ψαλλέντος, καὶ τοῦ προεστῶτος τὴν συνήθη ἐπειπόντος εὐχὴν, ὀρθίους ἑστῶτας πάντας τοὺς Ἀδελφοὺς, καλὸν ὑποκλίνειν αὐτῷ τὸ οὖς, γονυκλιτοῦντι καὶ λέγοντι, συγχωρήσατέ μοι Πατέρες καὶ Ἀδελφοί. ἥμαρτον γὰρ καὶ ἐν ἔργῳ καὶ Λόγῳ καὶ κατὰ διάνοιαν, καὶ διδόντας αὐτοὺς τὴν συγχώρησιν λέγειν. ὁ Θεὸς συγχωρήσαι σοι τίμιε Πάτερ. εἶθ᾽ οὕτως πίπτειν ἕκαστον ἡμῶν ἐπὶ γῆς κατὰ πρόσωπον, καὶ κοινὴν ἐκ πάσης τῆς ἀδελφότητος ἐξ αἰτεῖν τὴν συγχώρησιν, λέγοντας οὕτως. συγχωρήσατέ μοι Πατέρες καὶ Ἀδελφοί. ἥμαρτον ἐν ἔργῳ ἐν Λόγῳ καὶ κατὰ διάνοιαν, καὶ πάντας ἐπευχομένους τῷ κειμένῳ λέγειν. ὁ Θεὸς σῶσαι καὶ συγχωρήσαι σοι. καὶ μετὰ τὸ πάντας τὴν τοιαύτην συγχώρησιν ἐξαιτήσασθαι, καὶ λαβεῖν, λέγειν τὸν Ἐκκλησιάρχην εἰκὸς, εὔξασθαι Πατέρες ὑπὲρ τοῦ κραταιοῦ καὶ Ἁγίου ἡμῶν Βασιλέως, ὑπὲρ τοῦ Ἁγίου Πατρὸς ἡμῶν, ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν εὔχεσθαι ὑπὲρ αὐτῶν, ὑπὲρ τῶν ἀπολειπομένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν. ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων, ὑπὲρ τῶν ἐν ἀσθενείᾳ κατακειμένων. εὔξασθε, μακαρίσατε τοὺς Κτήτορας, μακαρίσατε τοὺς Πατέρας καὶ Ἀδελφοὺς ἡμῶν, μακαρίσατε τοὺς γονεῖς ἡμῶν. καὶ πάντας ὁμοῦ ἀποκρινομένους φάσκειν, ὁ Θεὸς συγχωρήσαι καὶ σῶσαι αὐτούς. μετὰ δὲ ταῦτα γόνυ κλίναντας ἅπαντας ὁμοῦ λέγειν τῷ Προεστῶτι, εὐλόγησον, εὖξαι καὶ συγχώρησον ἡμῖν Πάτερ Ἅγιε. τοῦ δὲ τὴν συνήθη ταύτην εὐχὴν ἐπευχομένου ἡμῖν, ὁ Θεὸς συγχωρήσει καὶ σώσει πάντας ἡμᾶς, καὶ τὸν στίχον εὐθὺς τοῦ λέγοντος τὸ, ἀμὴν ἐπειπόντος, πάντας, ἀνίστασθαι, συνεπομένους τῷ Πατρὶ ἕως τοῦ Ἡγουμενίου, παραίνεσιν λαβόντας, ἐν τοῖς κελλίοις ἀπιέναι, τὴν νυκτερινὴν ἀκολουθίαν, κατὰ τὸ δοθὲν τύπωμα ἐκτελέσοντας. καὶ οὕτως ὅλους εὐχαρίστους γινομένους μετ᾽ εὐφροσύνης Πνευματικῆς, ἐφ᾽ ὕπνον τρέπεσθαι.

Ἄρχεις

## ΜΕ΄.

Α"Χεις αὖ ὅτε κανδηλάπτης, καὶ ὁ ἐπιςιμονάρχης, τὴν προσήκουσαν ὥραν ἐκ τοῦ ἐκκλησιάρχου μαθόντες, τῷ προεςῶτι προσέλθοιεν. καὶ τὴν συνήθη λαβόντες ἐξ ἐκείνου εὐχὴν, ὁ μὲν ἀπέλθῃ κρούσων τὰς βαρέας, ὁ δὲ, τὸ εὐλόγησον Πάτερ Α"γιε, τὸ μεσονυκτικὸν, προσήνεῖ καὶ ἠπίᾳ φωνῇ ἐξειπὼν, παροδεύσει τὰ κελλία τῶν Α'δελφῶν, καὶ ἐφ' ἑκάςῳ τὸ εὐλόγησον Πάτερ, τὸ μεσονυκτικὸν, ὡσαύτως λέγων, ἐξεγερεῖ πρὸς Λειτουργίαν ὑμᾶς, τῆς μεσονυκτίου Α'κολουθίας.

## Μς΄.

Η"Ν δὴ καὶ αὐτὸς ψαλεῖται πάντως. καὶ ὁ κανδηλάπτης, ἐν τούτῳ τὰς βαρέας κρούει κατὰ τὸ συνήθες. καὶ οὕτω τοῦ σιδήρου διασημαινομένου συμβόλου, ἀθροίζονται πάντες ἐν τῷ Ναῷ. καὶ εὐλογήσαντος τοῦ Ι'ερέως, ψάλλεται τὸ μεσονυκτικὸν, καὶ μετὰ τὴν συμπλήρωσιν τούτου, ἐπιφωνεῖ ὁ προεςὼς, εὔξασθε καὶ μακαρίσατε τοὺς Α'γίους Πατέρας ἡμῶν. εὔξασθε δὲ καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἵνα ῥυσθῶ ἐκ τῶν παθῶν καὶ σκανδάλων τοῦ πονηροῦ. καὶ ἡμῶν ἐπὶ γόνυ κλινομένων, ἀποκρινόμεθα, ὁ Θεὸς μακαρίσει μὲν τοὺς Α'γίους Πατέρας ἡμῶν, συγχωρῆσαι δὲ καὶ σέ. Εὔχου δὲ καὶ αὐτὸς ὑπὲρ ἡμῶν τίμιε Πάτερ, ἵνα ῥυσθῶμεν ἐκ τῶν παθῶν καὶ σκανδάλων τοῦ πονηροῦ. καὶ ἀποκρίνεται ὁ Προεςός. ὁ Θεὸς συγχωρήσει πάντας ὑμᾶς δι' εὐχῶν τῶν Α'γίων Πατέρων ἡμῶν. ἡμῶν δὲ ἀποκρινομένων τὸ, ἀμήν. ἀνας ὰς ὁ κανδηλάπτης, καὶ βαλὼν μετάνοιαν, ἀπέρχεται, καὶ σημαίνει τὸ μέγα σημαντήριον.

## ΜΖ΄.

ΚΑὶ οὕτως ἀρχόμεθα τοῦ Τρισαγίου, τοῦ κραταιοῦ ἡμῶν Βασιλέως, μετὰ Τοπαρίων, καὶ ἐκτενῆς παρὰ τοῦ Ι'ερέως. Ε"τι δεόμεθα ὑπὲρ τῶν Εὐσεβεςάτων καὶ Θεοφυλάκτων ἡμῶν Βασιλέων, κράτους νίκης διαμονῆς, εἰρήνης, ὑγίας καὶ Σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Κύριε ἐλέησον, ιβ΄. καὶ οὕτω τῆς Ε'ωθινῆς δοξολογίας ἀρχόμεθα, ὡς οὕτω δέον ποιεῖν.

Μετὰ

## ΜΗ'.

Μετὰ τὴν τοῦ Μεγάλου Σημαντῆρος διάκρουσιν. εὐλογεῖσθαι τὸν Θεὸν, παρὰ τοῦ τὴν ἐφημερίαν ἔχοντος Ἱερέως, αὐτίκα τὸν τύπον τοῦ τιμίου Σταυροῦ ἔμπροσθεν τῆς Ἁγίας Τραπέζης οὕτως ἐκφωνοῦντος. δόξα τῇ Ἁγίᾳ καὶ ὁμοουσίῳ, ἀδιαιρέτῳ, ζωοποιῷ καὶ ἀσυγχύτῳ Τριάδι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, μετὰ τοῦ θυμιατηρίου ἐπισφραγίζοντος, ἀφ' οὗ τὸ ἀμὴν ἐκδεχόμενον τόντε προεστῶτα, ἢ καὶ τὸν ἐκκλησιάρχην, τοῦ δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἀκολούθως τοῦ ἑξαψάλμου εὐθὺς ἀπάρχεσθαι, σχολέως τε καὶ ἡσύχως, μικρὸν ἄγαν ὑποφωνοῦντας τὰ ῥητὰ τῶν ψαλμῶν. ἵν' ἐντεῦθεν ἔχοιεν ἅπαντες ἀπροσκόπτως καὶ ἀπλανῶς, αὐτὰ διεξέρχεσθαι, καὶ οὕτω μετὰ τὴν τοῦ ἑξαψάλμου συμπλήρωσιν, καθ' ἑξῆς τὴν πᾶσαν ἐκτελεῖσθαι τοῦ ὄρθρου Ἀκολουθίαν, καθὼς τὸ τῆς Ἐκκλησίας διέξεισι Τυπικόν. τοῦτο δὲ ποιεῖν, ὅτε τὸ, Θεὸς Κύριος ψάλλομεν. τὸ γὰρ Ἀλληλούϊα τῆς ἡμέρας ἐχούσης, ἀπὸ τοῦ Τρισαγίου ἀρχόμεθα. οὕτως οὖν ἔσται ἀπαραλλάκτως ἐν παντὶ καιρῷ καὶ χρόνῳ, ἡ περὶ τῆς Ἡμερονύκτου Ἀκολουθίας ἡμῶν ὑποτύπωσις.

## ΜΘ'.

Ἀλλὰ πρὸ πάντων παρακαλῶ ὑμᾶς τοὺς Πνευματικούς μου Πατέρας καὶ Ἀδελφοὺς, ὥστε μήτινα τῆς Ἐκκλησιαστικῆς Ἀκολουθίας ἀπολιμπάνεσθαι, ἢ ἐν ταῖς νυκτεριναῖς, καὶ ἡμεριναῖς δοξολογίαις, ἢ ἐν ταῖς συνήθως τελουμέναις ἀγρυπνίαις. ὡς εἴπερ τις κατὰ ῥαθυμίαν καὶ ἀμέλειαν ἀπολειφθείη καὶ μὴ δι' ἀσθένειαν, ἢ καὶ συγγνώμην οἷς δεῖ ἐφέλκεσθαι, ἔστω ὁ τοιοῦτος ὡς εἴγε μετὰ πρώτην, καὶ δευτέραν καὶ τρίτην παραίνεσιν ἐπιμεῖναι τῇ ῥαθυμίᾳ αὐτοῦ, ἔνδικον ἐντεῦθεν ἕξει τὸ ἐπιτίμιον. τὴν ξηροφαγίαν αὐτὴν καὶ τὸ ὑδροποτεῖν, καθ' ἣν ἡμέραν ὑπ' αὐτοῦ τοῦτο πλημμεληθείη. εἴγε δηλαδὴ οἱ ἕτεροι Ἀδελφοὶ ἐσθίουσιν ἔλαιον, καὶ πίνουσιν οἶνον. εἰ δέ γε οὗτοι τῷ τῆς διαίτης σκληρῷ κατ' ἐκείνην τὴν ἡμέραν πρόσκεινται, νῆστις ὁ τοιοῦτος διαμενεῖ, ἄχρις ἂν ὁ ἑσπερινὸς ὕμνος δέξηται πέρας. τηνικαῦτα γὰρ συγχωρούμενον φιλαγάθως τούτῳ τὸ ξηροφαγεῖν. οἱ μέντοι διακονίαις ἴσως τισὶν ἀσχολούμενοι, ἢ σωματικαῖς ἀῤῥωστίαις ὡς εἴρηται προσπαλαίοντες, ἢ καὶ ὑπὸ κόπου καὶ ὁδοιπορίας τινὸς ὀκλάσαντες, τῷ τοιούτῳ δεσμῷ οὐχ ὑποβληθήσονται. ταῖς γὰρ ἀσθενείαις τῶν ἀνθρώπων καὶ τοῖς κόποις συγκαταβαίνειν χρεών.

## Ν'.

Λ Εκτέον δὲ ὑμῖν ἄρα καὶ περὶ τῆς σωσιψύχου ἐξαγορεύσεως. δέον τοίνυν τὸν προεστῶτα ἐν ἑκάστῃ ἀγρυπνίᾳ, καὶ καθ᾽ ὃν ἂν αὐτὸς αἱρεῖται ταύτης καιρὸν εἰσέρχεσθαι εἰς τὸ διακονικόν, καὶ παντὸς οὐ τινος τοῦ ἔργου ἀφεμένον, καὶ πάσης οἰκονομικῆς ὀχλήσεώς τε καὶ διατάξεως, φροντίδα ποιεῖσθαι ἐπιμελεστάτην, τοῦ ἀκροᾶσθαι τῶν βουλομένων ἐξομολογεῖσθαι, καὶ ἑκάστῳ ἁρμοδίαν ἐπιτιθέναι τὴν θεραπείαν. ἐφείσθω δὲ τούτῳ μὴ ἀδειάζοντι ἴσως, ἐπεὶ καὶ ἡ ἀδελφότης πεπλήθυνται, προτρέπειν καὶ οἷς ἂν βούλοιτο τῶν Ἱερέων, ἢ καί τισι τῶν εὐλαβεστέρων μεγαλοσχήμων Ἀδελφῶν, τῶν πλειόνων, καὶ ἀρχοικοτέρων τοὺς λογισμοὺς δέχεσθαι. λογισμοὺς δὲ, τοὺς ὁσημέραι καὶ ὥραι παρενοχλοῦντας ἡμᾶς, οὓς δεῖ πάντως τῶν εὐδιαλύτων ὄντας, καὶ μὴ τὴν ὄχλησιν, στεῤῥοτέραν πεποιημένους, καὶ ἀφιέναι τούτοις καὶ συγχωρεῖν, τοὺς δέγε ἰατρείας τινὸς δεομένους καὶ ἐπιμελείας, πρὸς τὸν προεστῶτα τοὺς δεχομένους ἀναφέρειν, κἀκεῖνος κατάλληλον τὴν θεραπείαν ποιήσεται. οἱ τοίνυν ἐξομολογούμενοι, οὐδὲν ἀποκρύψουσιν ἐνδοιάζοντες τούτοις, εἰ τοὺς σφῶν λογισμοὺς ἐπιμέλειαν δεομένους ἴδοιεν, ἀλλὰ πάντας καθαρῶς, πρὸς τὸν λαχόντα ἐκκαλύψουσι.

## ΝΑ'.

Π Λὴν ἀλλὰ καὶ πρὸς αὐτοὺς ὑμᾶς, τὰ εἰκότα εἰπεῖν καλόν. τοιγαροῦν καὶ ὑμεῖς Ἀδελφοὶ, τὸν προεστῶτα βλέποντες πρὸς τὸ καλὸν τοῦτο καὶ λίαν ψυχωφελὲς διακόνημα σπεύδοντα, τρέχοιτε καὶ αὐτοὶ τρέχοιτε. καὶ τὸν γαληνότατον τοῦτον καὶ ψυχοσώστην λιμένα, σπουδαίως καταλαμβάνοιτε, καὶ πᾶν τοῦ Νοὸς ὑμῶν κίνημα, καὶ ψυχοβλαβὲς ἐνθύμιον, καθαρῶς καὶ ἀπερικαλύπτως ἀποκαλύπτοιτε, ὡς εἰς ἐνώπιον Θεοῦ, καὶ οὐκ ἀνθρώπου ποιούμενοι τὴν ἐξομολόγησιν. Θεῷ δὲ πάντως ὁ σπουδάζων ψεύσασθαι, δίκην ἀπαιτηθήσεται. ἀπολεῖς γὰρ φησὶν ὁ ψαλμῳδὸς, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. ἀδόλως τοίνυν ἐξομολογούμενοι, καὶ πάσης γνωσιμαχίας, πάσης ἀκαθαρσίας, πάσης ταραχῆς καὶ ὀχλήσεως, τὰς ἑαυτῶν διανοίας ἀπαλλάττοντες, χαίροντες εἶτέ μοι καὶ ἀγαλλόμενοι, ὡς τὸ εὔελπι κομιζόμενοι τοῦ μὴ ἀστοχῆσαι τῆς Σωτηρίας. ἐξομολογήσασθε δὲ, μὴ ἀλλήλους αἰτιώμενοι, παροξυσμοῦ τυχὸν παρεμπίπτοντος ἢ τινὸς ἑτέρας ἀμφιβολίας, ἑαυτοὺς δὲ ἀναιτίους τιθέμενοι, καὶ κρίσεις μᾶλλον ζητοῦντες, οὐκ ἐξαγορεύοντες. μηδὲ περὶ τῶν συμ-

συμπιπτουσῶν ὑμῖν χρειῶν λέγοιτε τῶν σωματικῶν. τούτων γὰρ ἅπας καιρὸς, νυνὶ δὲ πταισμάτων ἐξαγορεύσεως καὶ ἰατρείας τῶν ψυχικῶν ἡμῶν παθῶν. καὶ εἰ μὲν περί τινος παροξυσμοῦ λέγειν ὀφείλετε πᾶσαν τὴν μέμψιν καὶ τὴν αἰτίαν τοῦ σφάλματος, ὁποῖον ἂν καὶ εἴη, ἑαυτοῖς ἐπιγράφειν σπουδάζετε καὶ ἐπιρρίπτειν. εἰ δὲ περί τινων ἄλλων παθῶν, καὶ ταῦτα καθαρῶς ἐκπομπεύοιτε, ἵν' ἔχοιτε καρποῦσθαι, καὶ τὴν ἐντεῦθεν διττὴν ὠφέλειαν, τότε πρὸς καθαρὰν τῆς ψυχῆς ἰέναι ὑγείαν, καὶ τὸ τὴν ὑψοποιὸν ταπείνωσιν περιβάλλεσθε. ἣν ἔχοντες, ὅμοιοι πάντως ἐσώμεθα τῷ Θεῷ, τῷ, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ λέγοντι. τί δ' ἂν ἄλλο εἴη τεκμήριον ἐναργέστερον, τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ; ἢ δῆλον ἐπὶ τῷ φέρειν πᾶσαν θλῖψιν γενναίως, καὶ ἑαυτῷ ἐν παντὶ ἐπιμέμφεσθαι. τούτων ἄρα καλῶν αἰτία, ἡ ἀληθὴς καθέστηκεν ἐξαγόρευσις. ἧς ἄνευ οὐκ οἶμαι τινὰ σωτηρίας τυχεῖν.

## ΝΒ΄.

Τὸν τοίνυν οὐκ ἐξαγορεύοντα, ἀκοινώνητον εἶναι ἀπὸ Κυρίου Θεοῦ Παντοκράτορος ἐντελλόμεθα, ἕως ἂν ἑαυτοῦ γενόμενος, καὶ τοῦ κρείττονος, πάντα τὰ σφαλερά τε καὶ βλαβερὰ ἐξομολογήσοιτο μελετήματα. ἔδει μὲν οὖν τοῦτον καὶ τῆς Μονῆς ἔξωθεν, καὶ οἷόν τι σεσηπὸς ἀποκόπτειν μέλος, καὶ ὥσπερ τι τραῦμα δυσίατον ἢ καὶ παντελῶς ἀνίατον, ἐξαιρεῖν τε καὶ ἀπορρίπτειν, ἀλλ' ἡ τοῦ μέλλοντος ἀδηλία, καὶ τοῦ ἴσως ποτὲ ἐπιγνῶναι αὐτὸν προσδοκία, τοῦ τοιούτου βουλήματος ἡμᾶς ἀνεχαίτισεν, ὑποκεῖσθαι μέντοι αὐτὸν τῇ τῶν ἀκοινωνήτων ἐπιτιμίᾳ, καὶ λίαν ἐπωφελὲς, ὡς ἀνυσιμώτατον. ποῖον γὰρ αὐτῷ κέρδος, τῆς ἐνταῦθα διατριβῆς; τί δὲ τὸ ὄφελος ἐκ τοῦ μὴ ἐξαγορεύειν; οὐχὶ μᾶλλον βλάβη καὶ ὄλεθρος; καὶ διηνεκὴς τοῦ κακοῦ μελέτη; καὶ πᾶν ὅτι οὖν φέρων ἀπώλειαν τῇ ψυχῇ ἐπιγίνεται, ὡς τοίνυν ἀῤῥωστοῦντά τινα, ἢ τραῦμα ἔχοντα, κρύπτοντά τε ταῦτα τὸν ἰατρὸν, ἀδύνατον ἐπανελθεῖν πρὸς ὑγείαν, οὕτω δὴ μᾶλλον καὶ πολλῷ χαλεπώτερον τὴν τῆς ψυχῆς ὑγίαν λήψεσθαί ποτε τὸν μὴ ἐξαγορεύοντα. καὶ τούτου μάρτυς ὁ Θεῖος Βασίλειος, οὕτω πως λέγων. ,, χρὴ τὸν ὑποταττόμενον εἴγε μέλλοι ἁρμόζουσαν προ-
,, κοπὴν ἐπιδείξασθαι, καὶ εἰς ἕξιν ἔρχεσθαι τῆς κατὰ πρόσταγμα τοῦ
,, Κυρίου ζωῆς, μηδὲν φυλάττειν ἀπόκρυφον κίνημα τῆς ψυχῆς, ἀλ-
,, λὰ γυμνὰ πάντα παριστᾶν τὰ τῆς καρδίας τῷ προεστῶτι αὐτοῦ. οὕτω γοῦν ποιοῦντες Ἀδελφοὶ, οὐ μόνον τῶν οἰκείων σφαλμάτων ἀπολυτρούμεθα, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἀσφαλέστερον διατεθησόμεθα. ,, φη-
,, σὶ γὰρ ὁ τῆς Κλίμακος, μώλωπες θεραπευόμενοι, οὐ προκόψουσιν

,, ἐπὶ τὸ χεῖρον. καὶ αὖθις, ψυχὴ ἐξαγόρευσιν ἐννοουμένη, ὡς ὑπὸ ,, χαλινοῦ ὑπ' αὐτῆς κατέχεται μὴ ἐξαμαρτάνειν. οὕτως ἄγαν ὠφέλιμος ἡ τῶν ἰδίων σφαλμάτων φανέρωσις. λοιπὸν πρόθυμοι, προθύμως ἐπὶ ταύτην πάντες τρέχωμεν. τὴν μὲν οὖν τοιαύτην ἐξαγόρευσιν, οὕτω διατατόμεθα γίνεσθαι, αὐτῷ τε δηλονότι τῷ προεστῶτι, καὶ τοῖς ὅσοις αὐτῷ ἐπιτήδειον πρὸς τὸ δέχεσθαι λογισμοὺς δόξοιεν.

## ΝΓ'.

Τὴν δέγε πρώτην καὶ μεγάλην ἐξομολόγησιν, ἣν ἄρα τὴν κοσμικὴν ἀποβαλλόμενοι τρίχα, ἐξαγορεύειν ὀφείλομεν, τῷ προεστῶτι μόνῳ καὶ μή τινι ἄλλῳ ἀναθετέον. ἵν' ἔχω πάντας αὐτὸς εἰδέναι, καὶ ἁρμοδίως ἑκάστῳ κεραννύειν τὰ φάρμακα. εἰ δέγε βούλοιτο ὁ προεστὸς, καί τισι τῶν εὐλαβεστέρων Ἱερέων, οἱ τὴν κοσμικὴν ἀποτιθέμενοι τρίχα, τοὺς λογισμοὺς αὐτοῖς φανερώσωσαν.

## ΝΔ'.

Ὀφείλουσι τοίνυν πάντες οἱ τῆς ἡμετέρας ἀδελφότητος, τῷ προεστῶτι τοὺς οἰκείους ἐξαγγέλλειν ὡς εἴρηται λογισμοὺς, καὶ ἐν αὐτῷ τῷ τῆς ἀποταγῆς καιρῷ, καὶ τῷ μετὰ τὴν ἀποταγὴν ἀγῶνι καὶ σκάμματι, καὶ μὴ τινὰς ἑτέρους, ἢ ἡσυχάζοντας ἴσως, ἢ ἐν ἀλλοτρίοις ὄντας Μοναστηρίοις, τῶν οἰκείων ἀναδόχους κεκτῆσθαι λογισμῶν, ἀλλὰ πρὸς μόνον τὸν προεστῶτα πάντα τὰ ἑαυτῶν ἀπογυμνοῦν, σφάλματα, παρ' οὗ καὶ τὰ φάρμακα προσήκοντα δέξονται καὶ κατάλληλα, καὶ πρὸς ἐκείνους δὲ, οἷς ἂν αὐτὸς ὁ προεστὼς, τὸ πρᾶγμα ἐπιτρέψειεν ὡς δεδήλωται. πρὸς ἕτερον δὲ, οὐ βαδιοῦνται χάριν ἐξαγορεύσεως, οὐδ' ἐπιφημίσουσιν ἑαυτοῖς Πατέρα Πνευματικὸν, πάρεξ τοῦ προεστῶτος αὐτῶν. τοῦτο γὰρ παντάπασιν ὡς λύμης αἴτιον ἀποτρέπομεν. εἰ δέ τις ἴσως ὢν ἀκαμπής τε καὶ ἀπειθὴς, καὶ τῷ ἑαυτοῦ ἀνοήτως στοιχῶν θελήματι, μὴ βούλοιτο τὴν πρὸς τὸν προεστῶτα ποιεῖσθαι ἐξομολόγησιν, ἀλλ' ἄλλον ἑαυτοῦ, καὶ οὐ τοῦτον ἐπιγράφοιτο Πατέρα Πνευματικὸν κἀκείνῳ τοὺς οἰκείους, λογισμοὺς προανατίθεσθαι διατείνοιτο. ἔξω που καὶ μακρὰν τῆς ἡμετέρας Ποίμνης γενέσθω παρευθὺς διωκόμενος. καὶ μηδὲ φειδῶ λαμβανέτω. μηδὲ ἔλεον. ἀλλ' ὡς ἑαυτὸν ἀλλοτριῶν, οἷς ἄρα κακῶς, οἱ Θεοῦ βλέποντες ὀφθαλμοὶ, κακῶς καὶ λίαν ἐπικινδύνως βεβούλευτο ἀποσκορακιζέσθω τῆς Μονῆς, καὶ ξένος τῆς ἡμετέρας ἤτοι μερίδος καὶ συναυλίας, διαίτης καὶ ὁμιλίας ὡς διασπασμοῦ καὶ

διαστάσεως, καὶ πάσης ἄλλης ἀκαταστασίας καὶ ταραχῆς, καὶ βλάβης αἴτιος οὐ τῆς τυχούσης. ἐχέτω μὲν οὕτω καὶ ταῦτα.

# ΝΕ'.

ΡΗτέον δὲ λοιπὸν καὶ περὶ προσερχομένων τῇ Μονῇ ἐπὶ τῷ ἀποκαρῆναι πλατύτερον. οἵγε εἴτινες εἶεν περιφανεῖς, ἢ τῶν ἀνέκαθεν γνωρίμων ὑμῖν, καὶ σχεδὸν εἰδότων τὴν τῆς Μονῆς διαγωγὴν καὶ κατάστασιν, ἀποκειρέσθωσαν, καὶ ἔσωθεν τοῦ ἑξαμηνιαίου καιροῦ, ἀξιοῦντες καὶ αὐτοὶ τοῦτο ἴσως, καὶ ἀποδεχόμενοι. εἰδὲ τῶν τυχόντων εἰσίν. ἢ ἄγνωστοι, μετὰ παρέλευσιν ἑπτὰ ἡμερῶν, τῆς ἐν ταῦθα τούτων ἀφίξεως.

# Ν ς'.

ΕΚδυέσθωσαν τὸ ῥάκι; καὶ τὰς μοναχικὰς περικεφαλαίας περιβεβλήσθωσαν. ἐπιταττέσθωσαν δὲ καὶ τὰς κατὰ δύναμιν καὶ προσηκούσας διακονίας, καὶ ἐπιτηρείσθωσαν, εἰ μεθ' ὑπομονῆς ἐκπλεῖεν ταύτας καὶ ταπεινώσεως, ἂν μέν τοι οὕτως ἔχοντες διακαρτεροῖεν ἄχρι τῆς συμπληρώσεως τριῶν ἐνιαυτῶν, καὶ τοῖς Ἀδελφοῖς συνταττέσθωσαν ἀποκειρόμενοι, καὶ τὸν ἀῤῥαβῶνα τοῦ Θείου καὶ Ἀγγελικοῦ σχήματος, ἤτοι τὸν μανδύαν λαμβανέτωσαν. εἰδ' ὀκλάσαντες τυχὸν φανεῖεν γογγύζοντες τε καὶ καταραθυμοῦντες, ἀποδυσάσθωσαν τὰ μέλανα, καὶ τὰ κοσμικὰ ἐνδυσάσθωσαν, καὶ πρὸς τὸν Κόσμον ὃν ἠγάπησαν ἐπιστρέψωσιν. οἱ γὰρ κατὰ Θεὸν ἀποταξάμενοι παντάπασι γίνονται ξένοι τῶν κοσμικῶν καὶ τῶν ἰδίων ἐπιθυμιῶν.

# ΝΖ'.

ΤΟὺς τοίνυν ἀναδεχθῆναι κριθέντας, οὐκ ἀναγκαῖον περί τινος ἀποταγῆς τε καὶ προσενέξεως νόμου, τὴν τοῦ Θεοῦ χάριν καπηλεύειν, ἢ χρήμασι πιπράσκειν, μήπου τι ἐντεῦθεν αἰσχύνη καὶ ὄνειδος προστριβῆ. τοῖς προῖκα παρ' ἡμῶν ἀποκαρεῖσι, καὶ τὸ κακὸν καὶ ἐπάρατον τοῦτο ῥῆμα παρεισαχθῇ, τὸ ἐμὸν δηλονότι καὶ τὸ σὸν, καὶ τὸ μεῖζον καὶ ἧττον, καὶ τὸ κρείττονα εἶναι τὸν προσενέγκαντα, τοῦ μὴ προσενεγκόντος, μὴ γένοιτο τοῦτο ὑμῖν εἰς τὸν αἰῶνα μὴ γένοιτο. ἡ γὰρ λεγομένη αὕτη ἀπαταγὴ, ἀναιρεῖ τὴν Μακαρίαν ὑποταγήν.

Εἰδὲ

# ΝΗ΄.

Εἰ δὲ ἴσως αὐτός τι ἑκὼν ὁ ἀποκαρισόμενος τῷ Θεῷ προσενεγκεῖν αἱρεῖτο, δεκτέον τρόπον τοιόνδε. κινητῶν μὲν ὄντος τῶν προσφερομένων καὶ ἀφιερωμένων, αὐτὸς ὁ μέλλων ἀποκαρῆναι, καὶ ἀσκεπὴς εἰς τὸ Ἅγιον θυσιαστήριον, εἰσερχόμενος, ἐπάνω τῆς Ἁγίας καὶ Ἱερᾶς τραπέζης, οἰκείαις χερσί, τὴν κατάθεσιν τούτου ποιήσεται. ἀκινήτου δὲ τυχὸν ἢ αὐτοκινήτου, χάρτην ἐκθήσει δωρεᾶς καὶ ἀφιερώσεως τῷ Θεῷ διὰ πρεσβειῶν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ εἰς τὸ Ἅγιον θυσιαστήριον ὡς εἴρηται εἰσελθὼν, ἀποθήσει τοῦτον ἐν τῇ φρικτῇ καὶ Θείᾳ τραπέζῃ. τοῦτο γὰρ προαιρετικὸν καὶ ἀβίαστον, καὶ γνώμης ἔργον Θεοφιλοῦς, καὶ ἐλεημοσύνης τάξιν ἐπέχον καὶ εὐποιΐας, καὶ ὑπὲρ τῆς Θεόθεν ἀντιμισθίας γινόμενον. εἰς ἐξίλασμα τῶν πεπλημμελημένων αὐτῷ, μᾶλλον δὲ ἵνα τ' ἀληθὲς εἴπωμεν, ἀνάθημα προσφέρεται τῷ Θεῷ καὶ τῇ Θεογεννήτρια. ἄλλο μὲν γὰρ ἡ λεγομένη ἀποταγὴ καὶ προσένεξις, καὶ ἕτερον δῶρον, ἢ ἐλεημοσύνης ἐπίδοσις, ἢ ἀνάθημα. ἐκεῖνο μὲν γὰρ ἐντεῦθεν ἔχει τὴν τῆς ἐλπίδος ἀντάμειψιν. καὶ ὥσπερ τις ὠνητῶν τοῦ σώματος προκαταβάλλεται χρειωδῶν, ἐπί τισιν ἴσως ῥηταῖς συμφωνίαις καὶ ἀνταλλάξεσι. τὸ δὲ ἐκεῖ μόνον, ταῖς οὐρανίαις ἐλπίσι καὶ ἀνταμείψεσιν ἀποκείμενον. τῷ τοι οὕτω διὰ μηδὲ πρόκλησίν τινα ἔχειν, τῶν τοῦτο τῶν λοιπῶν ἀδελφῶν ὁ διδοὺς ὑπολαμβανέτω, ἀλλ' ἐπίσης εἶναι τοῖς πᾶσι κατὰ τὸν κρατήσαντα τόπον τῆς Μονῆς.

# ΝΘ΄.

Ἂν δέγε ποτὲ πειραθεὶς ἐκδαιμόνων οὐδοὺς, οἷα πολλὰ τὰ τῆς δουλείας, ἐκστῆναι μὲν τῆς Μονῆς βουληθῇ, θελήσει δὲ καὶ τὸ δεδωρημένον, καὶ Θεῷ προσενηνεγμένον ἀποκομίσασθαι, ἀλλὰ μὴ δοτέον αὐτῷ τοῦτο κατὰ Κανόνα Τυπικόν. τὸ γὰρ ἅπαξ Θεῷ ἀφιερωθὲν, ἀναφαίρετον, καὶ ὁ ἀφαιρούμενος Ἱερόσυλος, ὁποῖον δὲ τὸ Ἱερόσυλον ἔχει τὸ ἐπιτίμιον πάντες ἴσασι, κἂν ἡμεῖς μὴ λέγειν, ἐθέλωμεν.

# Ξ΄.

Ἀλλὰ ταῦτα μὲν περὶ τῶν ἀποκειρομένων ἐν τῇ Μονῇ. φροντιστέον δὲ καὶ τῶν ἀπὸ ξένης ἐρχομένων, ἐπὶ τὸ βαλεῖν ἀρχήν. ἐν αὐτῇ ὁ τοίνυν εἰσδεχθῆναι τῇ Μονῇ κελευθεὶς μοναστὴς, μετὰ

παρέλθωσιν μηνῶν ἕξ, ἐν ταύτῃ διαταγέτω πρὸς θέαν τῆς αὐτῆς καταστάσεως, εἶθ' οὕτως ἀναγινωσκέσθω ἐνώπιον ἡ παροῦσα διάταξις. καὶ εἴγε δὴ ἀρεσθείη πᾶσι τοῖς ἐν αὐτῇ γεγραμμένοις. ἀναγινέσθω μὲν παρὰ τοῦ Ἱερέως ἔξω ὁ εὐλογητὸς ὡς ἔφημεν μετὰ Τρισαγίου. ἐν τῇ Ἐκκλησίᾳ δὲ ὑποκλιναμένου αὐτοῦ, ἐπιδιδότω τὴν ἰδίαν κεφαλὴν τῷ προεστῶτι ἀπερικάλυπτον, αὐτὸς δὲ τῷ τιμίῳ ταύτην σφραγίζων Σταυρῷ οὕτω πως εὐλαβῶς λέγει. ἡ χάρις τοῦ Παναγίου Πνεύματος ἀδελφέ, δι' εὐχῶν τῶν Πατέρων ἡμῶν, δώησοι δύναμιν καὶ ἰσχὺν, καλῶς τετελεκέναι, καὶ θεαρέστως ἣν ἔλαβες ἀρχὴν, εἰς οἰκοδομὴν καὶ Σωτηρίαν τῆς σῆς ψυχῆς καὶ ὠφέλειαν. ἔπειτα, τὸν ἐν κυρίῳ δότω αὐτῷ ἀσπασμόν. καὶ καθεξῆς ὁμοίως οἱ Ἀδελφοὶ πάντες. οὗτος δὲ ποιείτω μετάνοιαν τῇ ἀδελφότητι λέγων. εὔξασθέ μοι Πατέρες καὶ Ἀδελφοὶ, ἵνα μοι δώσῃ ὁ Θεὸς ὑπομονὴν. ἰδοὺ γὰρ ἔβαλον ἀρχὴν ἐν τῇ Ἁγίᾳ ταύτῃ Μονῇ. καὶ τῶν Ἀδελφῶν ἀποκειμένων. δώησοι ὁ Θεὸς ὑπομονὴν ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ οὕτω συγκαταλεγέσθω τῇ ἀδελφότητι. εἶτα δόξαν μὲν τῷ Θεῷ ἀναφερέσθω, καὶ ἀπόλυσις γινέσθω τῆς συνήθους λεγομένης εὐχῆς. ἄλλως γὰρ οὐ συναριθμηθήσεταί τις, τοῖς τῆς καθ' ἡμᾶς Μονῆς Ἀδελφοῖς, εἰ μὴ σὺν τῇ ἐξαγορίᾳ, καὶ ἡ παροῦσα Ἀκολουθία ἀπαραλλάκτως προβῇ.

## ΞΑ'.

ΚΑιρὸς δ' ἂν εἴη λοιπὸν καὶ τραπέζης ἐπιμνησθῆναι καὶ βρώσεως, καὶ τῶν λοιπῶν, ὅσαπερ τὴν σύστασιν τῷ σώματι σωτηρεῖν πέφυκεν. ὥσπερ γὰρ ἡμεῖς ἐκ δύο συγκείμεθα ψυχῆς τε λέγω καὶ σώματος, οὕτω δὴ καὶ τὰ τῆς Μονῆς. καὶ ψυχὴ μὲν εἰκότως ἂν αὐτῆς νομίζοιτο ἡ ἐν ψαλμῳδίαις πάσαις θεοπρεπὴς Ἀκολουθία. σῶμα δὲ αὐτή τε ἡ Μονὴ καὶ ὅσα τοῖς ἡμῶν λυσιτελεῖ σώμασιν. ἐπεὶ τοίνυν ἀρκούντως ἤδη σὺν Θεῷ περὶ τῆς ψυχῆς εἴπωμεν, πρέπον ἐστὶ καὶ περὶ τῶν τῷ σώματι ταύτης διαφερόντων εἰπεῖν, τήν τε τῶν τροφῶν δίαιταν διατυπώσασθαι, καὶ τὰ ἄλλα, ὅσα τὴν τῆς Μονῆς σύστασιν διαρκεστέραν ἐπιμνηστεύονται, ἀκριβέστερον ἐκθέσθαι ὑμῖν, ὧν οὐκ ἔλαττον φροντίζειν χρεὼν, τὸν αὐξάνεσθε θέλοντα καὶ τοῦ κοινοβίου κατάστασιν. λεγέσθω τοίνυν, καὶ τοῖς ἐμοῖς πατράσι καὶ Ἀδελφοῖς, εἰκότως παραδεδόσθω, μετὰ τὴν τῆς Ἱερᾶς καὶ Θείας Μυσταγωγίας ἀπόλυσιν, πάντων τοῦ Ναοῦ ἐξερχομένων, καὶ τῶν νάρθηκι συγκαθημένων, κρούεται μὲν τὸ τραπεζικὸν ὡς σύνηθες σύμβολον. ὁ δέγε Ἱερουργήσας Ἱερεὺς ἔσω, τῶν.

Λείπει

## Λείπει ἐν ταῦθα ἓν Φύλλον, ἔνθα τὸ ξβ'. καὶ ξγ'. περιέχονται Κεφάλαια.

Συντετμημένοις τοῖς ῥήμασιν. εἰδέ τις εἴη ταράττων, καὶ ταραττόμενος, θορυβῶν τε καὶ θορυβούμενος, τὴν ἀνάγνωσίν τε συγχέων, ἐκ τῆς ἀκαίρου καὶ ἀπρεποῦς ὁμιλίας, κατασιγαζέσθω παρὰ τοῦ τραπεζαρίου. εἰδ' ὅπερ ἀπείη, μηδ' αὐτοῦ τοῦ σιγάζοντος λόγον ποιεῖται ὁ θορυβούμενος, τῆς τραπέζης καὶ ἄκων ἐξεγειρέσθω. καὶ τὸ τῆς ἀβρωσίας ἐπιτιμίῳ ὑποβεβλήσθω. ἢ ἑτέρως σωφρονιζέσθω, καθὼς ἂν ὁ προεστὼς βούλοιτο. καθεθήσονται μὲν οὖν πάντες ἐν τῇ τραπέζῃ κατὰ τὴν τάξιν, τὴν παρὰ τοῦ προεστῶτος διωρισμένην.

### ΞΔ'.

Καθέδραν δὲ ὑψηλοτέραν, ἢ τὴν ἐπὶ ταύτῃ προτίμησιν, οἴκοθεν ἐπιζητῆσαι τινὰ, οὐδὲ ἀκοῦσαι τὸ σύνολον ἀνεχόμεθα. πῶς γὰρ ἂν καὶ εἴη τοῦτο δεκτόν, ἄνδρας κατὰ Θεὸν ζῶντας, ὅλως ἐρίζειν περὶ καθέδρας ἐπίσης τοῖς κατὰ Κόσμον; οἳ ἐντεῦθεν ἑαυτοὺς τῶν λοιπῶν ὑπερέχοντας, ἀποδεικνύναι σπουδάζουσιν, οἷα περὶ τὴν ματαίαν δόξαν, καὶ τῷ Θεῷ μεμισημένην ἐπτοημένοι, βδέλυγμα γὰρ παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος φησὶν ἡ Θεία γραφή. καὶ Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. οὐκ ἔσται οὖν ἐν ἡμῖν τοῦτο, οὐκ ἔσται. οὐ γὰρ ἄν ποτε σῶας ἔχων τὰς φρένας προκρίνῃ τοῦτο, βδέλυγμα ἔσεσθαι Κυρίῳ, τοῦ λαβεῖν χάριν παρ' αὐτοῦ, καὶ ἐγγὺς ἡμῶν ἔχειν αὐτὸν, ὡς τῇ καρ-

καρδίᾳ συντετριμμένους, ἢ τ' ἀληθὲς εἰπεῖν οἴκους αὐτοῦ εἶναι καὶ ἐπεράστους. εἰδὲ καί τις ὑμῶν εὑρεθείη, τούτου χάριν διαπληκτιζόμενος, χρόνους τυχὸν, ἢ ἐνέργειαν προβαλλόμενος, καὶ μὴ ἐμμένει τῇ προστάξει τοῦ προεστῶτος, καὶ τὸν ἀποκληρωθέντα τόπον αὐτῷ στέργοι, ἐντέλλομαι ἐν Κυρίῳ, τὸν ἔσχατον αὐτῷ τόπον ἀποκληροῦν, καὶ διδάσκεσθαι τῷ Κόσμῳ τὰ τοῦ Κόσμου καταλιμπάνειν. εἰδ' ὅπερ ἀπευκταῖον πάντη, καὶ ἄσεμνον, ἔτι τε διανίσταται καὶ ἀμφιβάλλοι, καὶ μετὰ δευτέραν καὶ τρίτην παραίνεσιν, ἀδιόρθωτος μένοι, οὐ καθεδεῖται τὸ σύνολον ἀλλ' ἀνιστάμενος διακονίαν ἐκπληρούτω τινά.

## ΞΕ'.

Ἀλλὰ προκαθεδοῦνται μὲν τῶν πάντων, οἱ τὰς δύο ταύτας μεγάλας ἐγκεχειρισμένοι διακονίας, ὅτε Οἰκονόμος, καὶ ὁ Ἐκκλησιάρχης. μετὰ δὲ τούτων οἱ Ἱερεῖς κατὰ τὴν τούτων προβαθμιότητα. μετὰ δὲ τούτους πάλιν οἱ διάκονοι, εἴ περ μή τινας χρόνῳ, ἢ γήρᾳ προβεβηκότας, ἀξίους αἰδοῦς καὶ τιμῆς, προκαθῆσθαι τούτων, τῶν Διακόνων δηλαδὴ αἱρεῖτο ὁ Καθηγούμενος. μετὰ δὲ τὴν τούτων καθέδραν, οὐκ ἔσται τῶν ἄλλων ἐν ταύτῃ προτίμησις, ἀλλ' ὡς ἂν τῷ προεστῶτι δοκεῖ, ἑκάστῳ προσηκόντως, ἡ Καθέδρα λοιπὸν ἀποκληρωθήσεται.

## ΞϚ'.

Ἀλλὰ καὶ κατὰ τὸν τοῦ δείπνου καιρὸν, εἴτις βουλόμενος δειπνῆσαι ὑστερήσει τῆς εὐχαριστίας, τῷ ὁμοίῳ ὑποπεσεῖται ἐπιτιμίῳ.

καὶ αὖθις βρωτέον ὑμᾶς, ἐδέσματα

**Λείπεται Ἓν Φύλλον. Ἔνθα αὐτότε τὸ ξϛ'. καὶ τὸ ξζ'. Περικλείεται, Κεφάλαιον.**

δύο σισαμελαίῳ μετέχοντα, οἶνον τε ποτέον μετὰ τοῦ σωνήθους ἐξαγίου διδόμενον, διὰ τὴν Ἑορτὴν τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου, ἣν ὁ προεςὼς ὀφείλει τελεῖν καὶ παρακαλεῖν ὑμᾶς. ἡ μὲν δὴ πρώτη Ἑβδομὰς τῆς Ἁγίας καὶ Μεγάλης Τεσσαρακοςῆς, οὕτως ὑμῖν ἀνυέσθω.

## ΞΗ΄.

Τοῖς δὲ Σαββάτοις πᾶσι καὶ Κυριακαῖς, τῆς αὐτῆς Ἁγίας Νηςείας, τρία παρατιθέσθωσαν ὑμῖν ἐδέσματα μαγειρευτὰ μετέχοντα σισαμελαίῳ. διδόσθαι δὲ καὶ εἰς πόσιν, οἴνου τὸ σωνήθες κρασοβόλιον. καὶ δειπνητέον ἐν ταύταις, ὡς ἔθος ἐςὶ τῇ Μονῇ.

## ΞΘ΄.

ΚΑὶ τῇ τετράδι καὶ πέμπτῃ τοῦ Μεγάλου Κανόνος, δείπνου χωρίς. τῇ δὲ παρασκευῇ, παρακλητέον τοὺς ψάλτας διὰ τὴν ἀκάθιςον. ταῖς δὲ τρίταις καὶ πέμπταις τῆς Ἁγίας Τεσσαρακοςῆς, ἔςωσαν οὕτως. φάβα τὰ ἑφθὰ, καὶ ἀλμαίαν, καὶ ὀπώρας, καὶ ποτὸν ἔψημα. καὶ ταῦτα μὲν τοῖς ἐρρωμένοις τὰ σώματα, τοῖς δέγε ἀσθενεςέροις, ἀρτέσθω ἑψητὸν μετὰ σιταμελαίου καὶ ἐλαίου, οἶνος τε φημὶ ἔτι μετὰ τοῦ σωνήθους κρασοβολίου. τεθείσθωσαν δὲ ἐν τῇ μιᾷ τραπέζῃ. τὰς δὲ δευτέρας καὶ τετράδας καὶ παρασκευάς, οὐκοῦν ὑμᾶς μαγειρευτοῦ τινος, οὔτε οἴνου μεταληπτέον, ἀλλ' ἢ μόνον κυάμων καίτινων μικρῶν ὀπωρῶν εἴπερ εἰσὶ, καὶ λαχάνων ὠμῶν, καὶ τοῦ κυμινάτου θερμοῦ ὕδατος.

## Ο΄.

ΑΝ δὲ τούτων μία τύχῃ τὴν μνήμην σωνδραμεῖν τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου, ἢ τῶν Ἁγίων Τεσσαράκοντα, καταλυτέον, καὶ τρισὶν ἐδέσμασιν ἐλαίου μετόχοις ἑςιατέον, καὶ οἴνου μεταληπτέον τῷ σωνήθει μετρουμένου κρασοβολίῳ. ἰχθύων δὲ οὔ. ἐν μιᾷ δὲ τῶν τῆς πρώτης Ἑβδομάδος ἡμερῶν, μίαν τούτων φθάσασαν διελθεῖν ἑορτὴν, τιμητέον, καὶ παρακλητέον ὑμᾶς, οὐ κατὰ τὰς προλεχθείσας ἡμέρας, ἀλλ' ἢ μόνῳ οἴνῳ τῷ διὰ τοῦ σωνήθους ἐξαγίου καὶ μέτρῳ. τὰς ἄλλας τοίνυν πάσας ἡμέρας τῆς Ἁγίας Τεσσαρακοςῆς, οὐκ ἔξεσιν ὑμῖν ἰχθυοφαγῆσαι τὸ σύνολον. εἰμήπου παράκλησις ἴσως πεμφθεῖ παρά τινος, τότε γὰρ καὶ τοῦτο καταλυτέον διὰ τὴν διάκρισιν. ἵνα μήτε φα-



νῶμεν

νῶμεν τοῖς ἀνθρώποις νηστεύοντες, μήπως ἴσως καὶ αὐτὸν τὸν παρακαλοῦντα λυπήσωμεν ἐν ταύτῃ τῇ βαϊοφόρῳ ἡμέρᾳ τυχόν.

## ΟΑʹ.

Τῆς λαμπρᾶς δὲ καὶ Ἁγίας Ἑορτῆς ἐνστάσης, ἢ τῆς Ἁγίας, καὶ Σωτηρίου Ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, λαμπρῶς ἑορταστέον ἐν ἑκατέραις εἰς δύναμιν, καὶ ἰχθύων μεταληπτέον, οἴκοθεν ὀψωνισμένων. καὶ οἴνου ποτέον διὰ τοῦ συνήθους κρασοβολίου, ἰχθυοφαγήσωμεν δὲ ἐν τῇ Ἁγίᾳ ταύτῃ ἑορτῇ Εὐαγγελισμοῦ ὡς εἴρηται, ἂν μὴ τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Ἑβδομάδι συνδράμῃ. τότε γὰρ λαχάνοις καὶ ὀσπρίοις μαγειρευτοῖς καὶ μετόχους ἐλαίῳ μόνῳ χρησόμεθα διὰ τὴν ἑορτήν. ἐπεὶ τὰς τρεῖς ἡμέρας ταύτης τῆς Ἑβδομάδος, ἤγουν δευτέραν, καὶ τρίτην, καὶ τετράδα, ἐπίσης ταῖς τῶν λοιπῶν Ἑβδομάδων τετραδοπαρασκευαῖς διακονητέον, ὀσπρίοις τε καὶ λαχάνοις ὠμοῖς καὶ ὀπώραις ταῖς παρατυχούσαις ἀρκουμένους, καὶ τῷ διὰ μέλιτος ἢ κυμινάτῳ θερμοῦ ὕδατος.

## ΟΒʹ.

Εἰ δὲ ἡ προδηλωθεῖσα Ἁγία αὕτη ἑορτὴ τοῦ Εὐαγγελισμοῦ ταύταις συνδράμῃ, κἂν ἐν τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ, κἂν τῇ Μεγάλῃ Παρασκευῇ, κἂν ἐν αὐτῷ μόνῳ τῷ Ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ, οὐκ ἰχθύων, ἀλλ' ὀσπρίων καὶ λαχάνων μαγειρευτῶν ἐλαίου μετόχων μεταληψόμεθα, καὶ οἴνου πιώμεθα κατὰ τοῦ συνήθους κρασοβολίου. καὶ τὰ εἰκότα τῇ ἑορτῇ πάντα ποιήσωμεν. τῇ τοίνυν Ἁγίᾳ Πέμπτῃ κατὰ τὰς ἀπολελυμένας ἡμέρας τῆς Τεσσαρακοστῆς, ἡ ἑστίασις ἔσται ὑμῖν, σύντε τοῖς ἐδέσμασι καὶ τῷ οἴνῳ. τῇ μέντοι Ἁγίᾳ Παρασκευῇ οὔτε μαγειρευτέον, οὔτε τραπέζης φροντιστέον, οὔτε βρωτέον τὸ σύνολον, ἀλλὰ νήστεις διάγειν πάντας εἰκός. ἐν δὲ τῷ Ἁγίῳ σαββάτῳ μόνος διακλασμὸς γινέσθω, μετὰ τὴν τῆς θείας Ἱερουργίας ἀπόλυσιν, ἐν τῷ νάρθηκι, περὶ τρίτην, ἢ τετάρτην φυλακὴν τῆς νυκτὸς ὀφειλούσης τελεῖσθαι.

## ΟΓʹ.

Ἡ δὲ τῆς Μεγάλης καὶ λαμπροφόρου Ἁγίας Κυριακῆς Ἀκολουθία πᾶσα, κατὰ τὴν τοῦ Τυπικοῦ διάταξιν πληρωθήσεται, τοῦτον μὲν δεῖ τὸν τρόπον, ἡ ἐν τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τεσσαρακοστῇ δίαιτα τῶν τρο-

τροφῶν ἐχέτω. τῆς περὶ τῶν ἀθανάτων φροντίδος, τῇ διακρίσει τοῦ προεστῶτος ἀνακειμένης.

## ΟΔʹ.

Κατὰ δέγε τὴν τῆς διακαινησίμου Ἑβδομάδα, τυρὸν καὶ ᾠὰ καὶ γάλα βρωτέον καθ᾽ ἑκάστην ἀπαραιτήτως, καὶ οἴνου μεταληπτέον.

## ΟΕʹ.

Ἀπὸ μέντοι τῆς δευτέρας τοῦ Ἁγίου Ἀποστόλου Θωμᾶ ἐν μὲν ταῖς τετράσι καὶ παρασκευαῖς, καὶ τρίταις φημὶ τυροῦ καὶ ᾠῶν, καὶ γάλακτος ἐπίσης ἀπέχεσθαι χρή. ἔλαιον δὲ ἐσθίειν, καὶ οἶνον πίνειν εἰκός. ἀλλὰ μὴ καὶ ἰχθυοφαγεῖν. καθ᾽ ὃν δὲ παλαιστινόθεν παρελάβομεν Τύπον μετὰ τὴν ἐσχάτην Ἑβδομάδα πᾶσαν τῆς Πεντηκοστῆς, ἤτοι τοῦ Ἁγίου Πνεύματος, καὶ ἐν αὐτῇ τῆς διακαινησίμου, τυροῦ καὶ γάλακτος, καὶ οἴνου μεταλαμβάνειν ὀφείλομεν.

## Οςʹ.

Ῥητέον οὖν καὶ περὶ τῆς τῶν Ἁγίων Ἀποστόλων νηστείας, καὶ ἐν πάσαις ταῖς δευτέραις καὶ τετράσι καὶ παρασκευαῖς, ὅτι τὸ Θεὸς Κύριος οὐ ψάλλομεν. δι᾽ ὃ καὶ μετὰ τὸ τελεσθῆναι τὴν πᾶσαν τῆς ἡμέρας Ἀκολουθίαν, τήν τε τῶν ὡρῶν καὶ τοῦ ἑσπερινοῦ, καθὼς καὶ τὸ τῆς Ἐκκλησίας διέξεισι Τυπικὸν, καλείτω ὑμᾶς ἡ τράπεζα κατὰ τὸν ἀνωτέρω διαταγέντα τύπον, Ἑβδόμης ὥρας, τῆς ἡμέρας ἐνισταμένης. ἐν ταύταις γὰρ οὔτε μαγειρευτῶν τινὸς, οὔτε ἐλαίου, οὔτε οἴνου μεταληπτέον, ἀλλ᾽ ὀσπρείων ἑφθῶν, καὶ λαχάνων ὠμῶν, καὶ τῶν κατὰ τὴν ἡμέραν ἴσως ὀπωρῶν, καὶ ὕδατος. ἐνδέγε ταῖς τρίταις καὶ πέμπταις, δύο ἐδέσματα σὺν ἐλαίῳ ἑψητῷ ὑμῖν ἐσθιέσθωσαν, καὶ οἴνου πινέτω ἕκαστος διὰ τοῦ συνήθους κρασοβολίου. ἀλλὰ καὶ δεῖπνος ὁ συνήθης παρατιθέσθω. ἄρτου τι τρύφος καὶ ὀλίγοσαι ἐλαῖαι ἢ ὀπῶραι, τῷ καιρῷ προσφοραί. καὶ οἶνος πινέσθω μετὰ τοῦ ἐλάττονος κρασοβολίου, ὡσαύτως κἂν τοῖς Σαββάτοις καὶ ταῖς Κυριακαῖς, ἐν αἷς δὴ καὶ τρισὶν ἐδέσμασι μαγειρευταῖς κατὰ τὸ ἄριστον ἑστιασόμεθα. καὶ ἡ τῶν Ἁγίων δὲ Χριστουγέννων Τεσσαρακοστὴ, ὁμοία ἔσται τῇ τῶν Ἁγίων Ἀποστόλων Νηστείᾳ, ἐν ταῖς βρώσεσι, καὶ πόσεσι.

## ΟΖ΄.

Καὶ ταῦτα μὲν περὶ τῶν ἐν ταῖς τρισὶ λαμπραῖς καὶ Ἁγίαις Τεσσαρακοσταῖς νηστειῶν. περὶ δὲ τῶν ἐν ταῖς ἄλλαις Ἑβδομάδεσι νηστειῶν, τὴν ἅπασαν τετράδα καὶ Παρασκευὴν ἐντεταλμένων ὑπὸ τῶν Θείων κανόνων, οὕτως τὴν νηστείαν οἱ κατὰ Παλαιστίνην Πατέρες δέον ποιεῖσθαι διακεκρίκασι, τῇ παντελῇ τοῦ οἴνου καὶ τοῦ ἐλαίου ἀποχῇ προσθέντες ἴσην γίνεσθαι καὶ τὴν κατὰ τὴν δευτέραν νηστείαν. τὸ αὐτὸ καὶ ἡμεῖς στοιχῶμεν, ἑπόμενοι τοῖς Ἁγίοις Πατράσιν ἡμῶν διατιθέμεθα δὲ, Δεσποτικῆς ἐνισταμένης Ἑορτῆς, ἢ τῶν ιβ. Ἀποστόλων, ἢ τῶν Μεγάλων Διδασκάλων, ἢ καὶ τῶν Μεγάλων Πατέρων τινὸς, ἐν αἷς ἀγρυπνίαις γίνονται, ἢ ὁ πολυέλεος ψάλλεται, πᾶσαν νηστείαν λύεσθαι δίκαιον, καθ᾽ ἣν ἂν ἡμέραν τῶν εἰρημένων τριῶν τῆς Ἑβδομάδος ἡμερῶν συμβαίη γίνεσθαι τινὸς τῶν εἰρημένων τελετήν. ἐφείσθω δὲ ὑμῖν καὶ παρ᾽ ὅλον τὸν τοῦ δωδεκαημέρου καιρὸν, τυρὸν ἐσθίειν καὶ γάλα καὶ ὠὰ, καὶ οἶνον καθ᾽ ἑκάστην μεταλαμβάνειν.

## ΟΗ΄.

Ἀλλ᾽ ὅπερ ἡμᾶς μικροῦ δεῖν παρέδραμεν, ἀναγκαῖον ὂν, καὶ τῆς μυσαρᾶς παραδόσεως τῶν ἀρτζιβουρτζίων ἀποδιαιροῦν, καὶ τοῦτο γραφῇ δοτέον. ἐν γὰρ τῇ πρὸ τῆς ἀποκρέου Ἑβδομάδος τῶν τοιούτων ἀρτζίων μὴ ἄλλο τι ἐσθιόντων, πάρεξ ἄρτου καὶ ὕδατος, ἡμεῖς ἵνα τῆς τούτων αἱρέσεως ἀποδιῃρημένοι τυγχάνωμεν, καὶ τυρὸν καὶ ὠὰ δι᾽ ὅλης ταύτης τῆς Ἑβδομάδος, ἀνενδοιάστως ἐσθίομεν. ὡσαύτως καὶ κατὰ τὴν Ἑβδομάδα πᾶσαν τῆς Τυρινῆς δι᾽ ἑτέραν αἵρεσιν, καὶ τοῦτο παρατηροῦμεν.

## ΟΘ΄.

Χρὴ δὲ συνέρχεσθαι τῇ τραπέζῃ, καὶ καθ᾽ ἑκάστην ἀνυπερθέτως κατὰ τὴν ἀνωτέρω ἑτοιμαζομένην διάταξιν, καὶ τοὺς τῶν κήπων καὶ ἀμπελώνων ἐπιμελουμένους Ἀδελφοὺς ὑμῶν, ὡσαύτως καὶ τοὺς λοιποὺς ἅπαντας διακονητὰς, καὶ κοινῶς ἐπαπολαύειν τῶν τοῦ Θεοῦ δωρεῶν, καὶ εὐχαριστεῖν τῇ ἀγαθότητι, ἵν᾽ οὕτως, μὴ ἐν ὀνόματι μόνῳ προσηγορία τῆς ἀδελφότητος λέγηται, ἀλλ᾽ ἔργοις αὐτοῖς, τὸ ἐνεργὸν ἀποφέρηται.

## Π'.

Προσήκει τοιγαροῦν καὶ Οἰκονόμον προθεῖναι τῇ Μονῇ, εἰς τὸ ἔχειν τοῦτον ὁ προεστὼς συλλήπτορα ἐν ἅπασι, καὶ συναγωνιστὴν δοκιμώτατον, εἰς τὸν τῶν Ἀδελφῶν ἐπιστηριγμὸν, καὶ τῆς Μονῆς ἐπιμέλειαν. προχειρισάσθω δὲ τοῦτον τρόπῳ τοιῷδε. συνδιασκεψάμενος ὁ προεστὼς μετὰ τῶν Ἀδελφῶν, ὁποῖον ἔστι τῶν ἄλλων ὁ κρείττων, αὐτῷ τε βίῳ καὶ τρόπῳ, καὶ ἤθει, καὶ Λόγῳ, καὶ τάξει, τοῦ εἶναι πιστὸν καὶ φρόνιμον, ὥς που φησὶ τὸ Ἱερὸν Εὐαγγέλιον, τῶν ἄλλων ὡς ἐφικτὸν ὑπερέχοντα προχειρισάσθω τοῦτον.

## ΠΑ'.

Ἡ δὲ προχείρησις τούτου τούτῳ τῷ τρόπῳ προβήσεται. μετὰ τὴν τοῦ Ὄρθρου ἀπόλυσιν, καὶ τὴν συνήθη τοῦ Ἱερέως εὐχὴν Τρισαγίου παρὰ πάντων λεγομένου, ποιείτω τρεῖς βαθείας γονυκλισίας ἔμπροσθεν καὶ πλησίον τοῦ Ἁγίου Βήματος ὁ ἐκλελεγμένος καὶ προκριθείς. εἶτα καὶ αὐτὰ τὰ Ἱερὰ καὶ Θεῖα εἰκονίσματα καὶ σεβάσμια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, εὐλαβῶς ἀσπαζέσθω, καὶ μετὰ ταῦτα τὴν προσήκουσαν ἀπονεμέτω προσκύνησιν τῷ προεστῶτι, εἶθ' οὕτως, ὑποκλινεῖ τὴν ἑαυτοῦ κεφαλὴν ἀπερικάλυπτον, τῷ δὲ, τιμίῳ σφραγίζων ἐκεῖνος Σταυρῷ οὕτω πως εὐλαβῶς λέγει, ἡ χάρις τοῦ Παναγίου Πνεύματος Ἀδελφὲ, διὰ τῶν θερμῶν πρεσβειῶν τῆς Πανάγνου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ δι' εὐχῶν τῶν Ἁγίων καὶ θεοφόρων Πατέρων ἡμῶν, προχειρίζεταί σε Οἰκονόμον τῆς σεβασμίας Μονῆς ἡμῶν. ἔπειτα τὸν ἐν Κυρίῳ δοὺς αὐτῷ ἀσπασμὸν, ἔμπροσθεν τῶν Ἁγίων κιγκλίδων ἵστησι. καὶ οὕτω προσερχέσθωσαν αὐτῷ πᾶσα ἡ Ἀδελφότης, καὶ καθεξῆς αὐτὸν ἀσπαζέσθωσαν ἅπαντες. μετὰ δὲ τὸν ἀσπασμὸν, δόξα τῷ Θεῷ ἀναφερέσθω, καὶ ἀπόλυσις ἑπέσθω μὲ τὴν συνήθως τοῦ Ἱερέως εὐχήν. εἰδὲ καὶ χειροτονίαν Ἱερέως ἔχει ὁ προχειριζόμενος, εἰς τὸ Οἰκονομεῖον μᾶλλον ἂν εἴη εὐάρεστον.

## ΠΒ'.

Πάντων οὖν τῶν ἄλλων ἀναγκαίων ἀφεμένος ὁ προεστὼς, εἰς ἐπίσκεψιν διαναστήτω μετὰ τοῦ προχειρισθέντος Οἰκονόμου, ἐπὶ τῶν τῆς Μο-

νῆς ἁπάντων μετοχείων, ὡς καὶ ἀκριβέστερον ταῦτα ἐξερευνήσασθαι, καὶ καταμαθεῖν, καὶ προσγραφῇ σημειώσασθαι. ὁ δέγε προῤῥηθεὶς Οἰκονόμος ἐπιτηρεῖν χρεὼν πάντας τοὺς διακονητὰς καὶ μισθίους, καὶ διδόναι ἑκάστῳ τὸ ἀναλογοῦν σιτηρέσιον.

## ΠΓ'.

ΔΕ'ον ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης, σταλῆναι πρὸς τὰ μετόχεια, καὶ ἑτέρους τῶν Ἀδελφῶν, τοῦ ἔχειν τούτους ὁ Οἰκονόμος συνεργοὺς καὶ συναντιλαμβανομένους αὐτὸν, καὶ εἰς τὸν ἀγῶνα καὶ τὴν σπουδὴν τῶν εἰσοδίων συμπονοῦντας, ἀλλὰ καὶ ἀψευδεῖς Μάρτυρας τούτους ἔχειν, εἰς τὴν τῶν εἰσοδιασθέντων ἀσφάλειαν. προσγραφῆναι τὴν ἑκάστου εἴδους δέον ποσότητα. καὶ τῷ προεστῶτι προσκομισθῆναι, καὶ αὐτὸς δὲ ἀσφαλεῖ γραφῇ σημειούσθω, καὶ καιρῷ τῷ προσήκοντι ἐξετάσει τὴν τῶν εἰσοδιασθέντων κατάχρησιν.

## ΠΔ'.

ΟΥ' γὰρ ἕξει ἐπ' ἀδείας ὁ Οἰκονόμος, τῆς τοῦ προεστῶτος εἰδήσεως, γνώμης τε καὶ θελήσεως ποιεῖν τὶ, ἀλλὰ πᾶσιν ἐξακολουθεῖν αὐτοῦ τοῖς ἴχνεσι, καὶ τοῖς θελήμασι καθά που φησὶν ὁ Σολομὼν, ὅτι μετὰ βουλῆς πάντα ποιεῖν, ἀλλὰ καὶ αὐτὸ φημὶ τὸ Ἱερὸν Εὐαγγέλιον, ὅτι καταβέβηκα ἐκ τοῦ Οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

## ΠΕ'.

ΟΥ' γὰρ ἐμοὶ βουλητὸν τοὺς μετοχιαρίους ἔχειν ἐπ' ἐξουσίας, τὰ τῶν προαστείων εἰσόδια, ἀλλὰ τὰ γεηπονικὰ ἐργαλεῖα, καὶ τὰ ὑλικὰ φημὶ ἅπαντα. τὸ δίκαιον δ' αὐτοῦ σιτηρέσιον, καὶ τῶν γεηπονούντων Ἀδελφῶν, δοθήσεται τούτῳ παρὰ τοῦ Οἰκονόμου, ἀλλὰ δεῖ καὶ εἰς ἑτέρας δικαίας καὶ εὐλόγους ἐξόδους ἐπιδώσειν αὐτῷ τὰ χρειαζόμενα, ἃ καὶ γραφῇ σημειώσεται ταῦτα, καὶ ἐν καιρῷ τῷ προσήκοντι ἐπιδώσει καθαρὰν τὴν τούτων καταβολήν. οὐ γὰρ βούλομαι τοὺς διακονητὰς ἐξετάζεσθαι, καὶ ἐρευνᾶσθαι ἐπὶ τῇ καταβολῇ τοῦ τυχόντος πράγματος, εἰ μὴ ἐνώπιον τοῦ προεστῶτος. ἀλλ' οὐδὲ οἱ ποιμένες ἐξετασθήσονται, παρὰ μόνου τοῦ Οἰκονόμου καὶ τοῦ ἀγελάρχου, ἀλλὰ καὶ αὐτοὶ ἔσονται καθὼς ἀνωτέρω δεδήλωται.

Δέον

## ΠϚʹ.

ΔΈον ἔτι καὶ ἐν τῇ Μονῇ, ἕτερον εἶναι Οἰκονόμον, κατὰ πάντα τὸν τρόπον ἐφάμιλλον τῇ ἀρετῇ τῷ πρώτῳ Οἰκονόμῳ, εἰς ἐπίσκεψιν καὶ ἀκριβῆ διέγερσιν πάντων τῶν διακονητῶν, ἀλλὰ δεῖ καὶ τὴν ἐπιμέλειαν ἔχειν πάντων τῶν παραβαλλόντων ξένων καὶ Ἀδελφῶν, καὶ τῶν ἀσθενῶν ἐπιμελεῖσθαι, ὡς ἀνωτέρῳ δεδήλωται. καὶ τὰ ὅθεν δήποτε εἰσοδιαζόμενα τῇ αὐτοῦ εἰδήσει ἀνακρίνεσθαι καὶ ἐξετάζεσθαι, καὶ παραδιδόναι ἐνὶ ἑκάστῳ τῶν διακονητῶν τὰ πρὸς τὴν χρείαν τῆς Ἀδελφότητος, ὥς που φησὶν ὁ συγγραφεὺς τῶν πράξεων, ὅτι διεδίδοτο ἑκάστῳ καθ' ὅτι ἄν τις χρείαν εἶχεν, ἀλλὰ καὶ τοῦ προεστῶτος ἀπόντος, ἢ καὶ τῇ κέλλῃ ἡσυχάζοντος, καὶ αὐτὸς καταρτίσει πᾶσαν τὴν Ἀδελφότητα, τοὺς νωθροὺς, ἐν ταῖς τῶν ψαλμῳδιῶν εἰς τὸν ναὸν εἰσελεύσεσι, τοὺς ἀργολογοῦντας, ἢ ἀργοῦντας, ἢ θ' ἕτερον τὶ ποιοῦντας ἀπρεπὲς καὶ ἀσύνητον, ἀδελφικῶς καὶ ἐν ἀγάπῃ παραινέσει, καὶ διορθώσεται, πείθων αὐτοὺς, ἐν ταῖς αὐτῶν εἰσιέναι κέλλαις, καὶ τῇ εὐχῇ προσανέχειν καὶ τῷ ἐργοχείρῳ. πρὸς τούτοις μηδὲ πρὸς ὕβρεις ἀλλήλων χωρεῖν ἢ διαπληκτισμούς. ὁ γὰρ ποιῶν τοῦτο ἀφορισμῷ ὑποπεσεῖται. μὴ μετανοῶν δὲ, καὶ τὴν συγχώρησιν ἐξαιτούμενος, ἐν συντετριμμένῃ καρδίᾳ αὐστηροτέρως ἐπιτιμηθήσεται. εἰς τὸ μεταμαθεῖν, τὸ εὐλόγησον καὶ συγχώρησον Ἀδελφέ.

## ΠΖʹ.

ΚΑὶ οἱ ἐπικτήσεις δέ τινας κτώμενοι λάθρα τοῦ προεστῶτος παρὰ τὸν Κανόνα τοῦ Μοναστηρίου ἄχρις ὀβολοῦ, ἢ ὀπώρας, τῷ ἐπιτιμίῳ ὑποπεσοῦνται. ὁ δὲ νοσφιζόμενος ἀπὸ τῆς Μονῆς ἐξομολογούμενος καὶ διορθούμενος, ἐξάπαντος ἐκδιωχθήσεται. οἰκέτας τοὺς ἐκδουλεύοντας, οὐκ ἔξεστιν ἡμῖν ἔχειν, ἀλλ' ἕκαστος ἑαυτῷ δουλεύσει, ὁ νέος τῷ προβεβηκότι, καὶ τῷ ἀσθενεστέρῳ, ὁ ἰσχυρότερος, ὡς ἂν ὁ προεστὼς ἐπιτρέψει. οὕτως γὰρ ἡ Δεσποτικὴ ἐντολὴ πληρωθήσεται, καὶ ὁ τῆς ἀγάπης θεσμὸς, ἀπαράτρωτος τηρηθήσεται. καὶ ταῦτα μὲν πάντα ποιήσει ὁ προρρηθεὶς Οἰκονόμος, κατὰ τὸν ὁρισμὸν τοῦ προεστῶτος, καὶ οὐ κατὰ θέλειν τινὰ, ἀλλ' ὅλως δι' ὅλου ὡς ἐστὶ γνώμη καὶ βουλὴ τῷ προεστῶτι.

## ΠΗ΄.

ΤΑ' δὲ ἑξῆς, οὐκ ἐβουλόμην παραδοῦναι γραφῇ. οὐ γὰρ ἔδει τὸν ἅπαξ εἰς τοῦτο προκεχαρμένον, τῆς αὐτοῦ τάξεώς τε καὶ καταστάσεως μεθιστᾶν. εἴπερ καὶ αὐτοὶ ἄτρεπτοί τε καὶ τὸ παντελὲς ἀναλλοίωτοι πρὸς τὰ καλὰ διαμένωσιν. ἐπεὶ δὲ τοῦτο οὐκ ἔστι, τρεπόμεθα γὰρ πολλάκις καὶ ἀλλοιούμεθα, οἷα τὰ ἀνθρώπινα, καὶ τιμῆς ἀξιούμενοι πρὸς τὴν τῶν καλῶν ἐργασίαν μᾶλλον χαυνούμεθα. εἴτε ῥαθυμίᾳ εἴκοντες τὰ πολλὰ, ὡς φιλούσης τῆς ἀρχῆς τοὺς ἑαυτὴν ἐπαγγελμένους ὑποχαυνοῦν, ὅτε πλείω τὸν ἀγῶνα καὶ τὴν προσοχὴν μᾶλλον ἀσκεῖν ἔδει. εἴτε καὶ τὴν ἀρετὴν ἐν πρώτοις μὲν ὑποκρινόμενοι, διὰ τὴν ὄρεξιν τῆς ἀρχῆς, καὶ τὴν τῆς ἐπιτυχίας ἐλπίδα. τυχόντες δὲ ταύτης, εὐθὺς ἐλεγχόμεθα ἐκεῖνοι ὄντες, ὅπερ ἀληθῶς, καὶ πρότερον ἦμεν. διὰ ταῦτα καὶ γραφῇ δοτέον τὸ πρᾶγμα, καὶ κολαστέον εἰς δύναμιν.

## ΠΘ΄.

ΕΙ' μὲν οὖν ἄτρεπτοι οἱ οἰκονόμοι μένωσι καὶ ἀναλλοίωτοι, τῆς ἀρετῆς ἐπιεικῶς καὶ τῆς ἀγάπης τῶν Ἀδελφῶν ἀντεχόμενοι, δι' ἣν καὶ ταύτης ἠξιώθησαν τάξεως, ἀμετακίνητοι ἔστωσαν τῆς τοιαύτης διακονίας καὶ ἀδιάπτωτοι.

## Ϙ΄.

ΕΙ' δὲ ἀδόκιμόν τι καὶ ἀσύμφορον ὁ χρόνος αὐτοὺς ἀπελέγξει, ὡς εἴτε τῆς διακονίας ἀμελῶς τε καὶ καταφρονητικῶς ἐχόμενοι, εἴτε τοῖς ἑαυτῶν φίλοις καὶ συγγενέσι χαριζόμενοι, εἴτε τι τῆς Μονῆς νοσφιζόμενοι, εἴτε παραχώδη τινὰ καὶ ὀχλοποιὰ ἀποδεικνύμενοι, καὶ πρὸς τὰς τοῦ Καθηγουμένου διατάξεις ἀπεχθιαζόμενοι, ἢ τὰ τῆς Μονῆς ὑποτιθέντες τινὶ καὶ προδιδόντες, εἴτε τι ἴσως τῶν τοῦ Τυπικοῦ καὶ τῆς διατάξεως διαταγμάτων παραθραύοντες, καὶ τοῖς ἑαυτῶν στοιχοῦντες θελήμασιν, ἢ σωματικοῖς τισι πάθεσι προφανῶς συμφυρόμενοι, ἢ καὶ ἀλόγῳ προσπαθείᾳ τινὸς, παρὰ τὴν λοιπὴν συνδούμενοι Ἀδελφότητα, καὶ διὰ ταῦτα καὶ πρὸς κυβέρνησιν ψυχῶν ἀνεπιτήδειοι ἐλεγχόμενοι, ἐκβάλλονται, τῆς ἀρχῆς, καὶ ἄλλοι, οἱ πᾶσι κομῶντες τοῖς καλοῖς, καὶ τὴν ἀρετὴν ἐκείνων κρείττονες καὶ ἀδιάβλητοι, αὐτοὶ ἐκείνων πάντως προτιμηθήσονται, καὶ εἰς τὴν ἑαυτῶν διακονίαν προβήσονται. εἰ δ' ἄμεμπτοι εἴησαν τὴν αὐτῶν

διακονίαν τελοῦντες, καὶ Θεῷ, καὶ Πατρὶ, καὶ τῇ Ἀδελφότητι δόκιμοι ἀναφαίνονται, ἀκούσονται, εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω, καὶ ταῦτα μὲν περὶ τῶν Οἰκονόμων ἀρκούντως ἐκθέμεθα.

## ϟΑ΄.

Αἱ προχειρήσεις τῶν διακονητῶν ἁπάντων, ἤγουν τοῦ Ἐκκλησιάρχου, τοῦ κελλαρίτου, τῶν δοχιαρείων, τοῦ οἰακέως, καὶ τῶν λοιπῶν, κατὰ τόνδε τὸν τρόπον προβήτωσαν, μετὰ τὴν Ὄρθρου ἀπόλυσιν, καὶ τὴν συνήθη τοῦ Ἱερέως εὐχὴν, Τρισαγίου παρὰ πάντων γινομένου, ποιείτω τρεῖς βαθείας γονυκλισίας ἔμπροσθεν καὶ πλησίον τοῦ μνήματος, ὁ εἰς οἵαν δήτινα διακονίαν ἐκλελεγμένος. εἶτα καὶ αὐτὰ τὰ θεῖα καὶ Ἱερὰ εἰκονίσματα καὶ σεβάσμια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς Θεομήτορος ἀβλαβῶς ἀσπαζέσθω, καὶ αὖ πάλιν μετάνοιαν, ἔμπροσθεν τῶν Ἁγίων κιγκλίδων ποιείτω, καὶ εἰς τὸν καθ᾽ ἕνα χορὸν ὡσαύτως. εἶθ᾽ οὕτως λαμβανέτω αὐτοχείρως τὰς κλεῖς ἐκ τῆς ὑπεραγίας Θεοτόκου, καὶ τῷ προεστῶτι τὸν ἴδιον αὐχένα ὑποκλινάτω, εὐλογείσθω παρ᾽ αὐτοῦ, καὶ τῷ τιμίῳ σφραγιζέτω Σταυρῷ, τὴν εὐχὴν ἐπιλέγοντος ταύτην. ἡ χάρις τοῦ Παναγίου Πνεύματος Ἀδελφὲ, δι᾽ εὐχῶν τῶν Πατέρων ἡμῶν, ἐνισχύσει σε καλῶς. καὶ ὡς αὐτῷ φίλον, τὴν ἀνατεθεῖσάν σοι, ἐκπληρώσεις διακονίαν. μετὰ ταῦτα, ἔμπροσθεν τοῦ βήματος, στὰς, κοινὴν τοῖς Ἀδελφοῖς βαλέτω μετάνοιαν. οὕτως ἠπίως ἐπιβοώμενος, εὔξασθέ μοι Πατέρες καὶ Ἀδελφοὶ, καλῶς ἀνύσαι καὶ Θεοφιλῶς, τὴν ἐν ᾗ προεχειρίσθην διακονίαν. καὶ τῶν Ἀδελφῶν πάντων λεγόντων, ὁ Θεὸς ἐνδυναμώσει σε Ἀδελφὲ, γινέσθω Ἀπόλυσις.

## ϟΒ΄.

Ταῖς μέντοι μὴ ἐχούσαις κλειδία διακονίαις, ὁ τῶν Θείων εἰκόνων ἀσπασμὸς, καὶ ἡ τοῦ Ἡγουμένου σφραγὶς μετὰ Τρισαγίου, ἀρκέσουσιν εἰς προχείρησιν. ἀμέλει τοὺς ἐφ᾽ ἑκάστῃ τῶν διακονιῶν προκεχειρισμένους. προσεκτικῶς μὲν καὶ θεοφόβως αὐτὰς μετιόντας, ἐᾶν ἀμετακινήτους δίκαιον, ἄχρις οὗ τούτοις προσήκειν ὁ προεστὼς διακεῖναι. ἀμελοῦντας δὲ, καὶ καταφρονοῦντας, ἴσως δὲ καὶ δολιευομένους ἐν αὐταῖς, μεθιστᾷν, καὶ ἑτέρους ἀποκαθιστᾷν. εἴ τις δὲ τούτων νοσφιζόμενος, ἄχρι τοῦ τυχόντος φανῇ, ὑπόδικος ἔσω τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ τῇ αὐτοῦ ἀχράν-

τῷ

τῷ Μητρὶ, ἀφ᾽ ὧν ἄρα καὶ τὴν διακονίαν παρέλαβον, ὑποχρεούμενος ἀδόλως καὶ εὐθύμως διακονῆσαι.

### ϟΓ΄.

ΜΕτὰ τὴν προχείρησιν τοῦ Ἐκκλησιάρχου, ἅπαντα τὰ τῆς Ἐκκλησίας παραδοθήσονται αὐτῷ ἐγγράφως.

### ϟΔ΄.

ἘΠειδὴ δὲ καὶ Ἱερῶν σκευῶν, ἀναθημάτων τε Θείων, καὶ Βιβλίων ἐδεήσε τῇ Μονῇ, εἰς Θεοῦ δόξαν, καὶ φωτισμὸν τῶν ἐν αὐτῇ ἀσκουμένων, ἀφιερώθησαν ταῦτα ὅσα γράφει, χάριτι Χριστοῦ, καὶ διὰ πρεσβειῶν τῆς ὑπεραγίας Θεοτόκου, ὅσα ἐν ἀργυρέοις σκεύεσι, καὶ σεπταῖς εἰκόσι, καὶ ἐπίπλοις, καὶ Βίβλοι πολλαὶ, καὶ ὅσα τε ἐν χαλκῷ ἐθεωρήθησαν, καὶ τούτων βρέβιον γέγονε παρ᾽ ἡμῶν, ὑπογραφὲν οἰκείᾳ μου χειρί. περὶ ὧν διορίζομαι, εἶναι εἰς τὸ παντελὲς ἀνεκποίητα καὶ ἀναφαίρετα. καὶ ὁ τολμήσων ἐξ αὐτῶν ἀφελέσθαι τὸ οἱονοῦν, ὡς Ἱερόσυλος λογισθήσεται, καὶ σὺν τῷ Ἰούδᾳ, ἐν κολάσεσιν αἰωνίαις καταταγήσεται. πρὸ ἐκείνων δὲ, καὶ τῆς ἐκείνου ἀγχόνης κληρονόμος γένοιτο, ἀλλὰ μὴ δὲ εἰς νοῦν μελετηθείη Χριστέ μου ποτὲ τινὶ, μὴ δυνάστῃ, μὴ ἄρχοντι, μὴ τῶν ἐν τῇ Μονῇ, ἢ προεστῶτι, ἢ ὑποτασσομένῳ, ἀφελέσθαι, ἢ ἐκποιήσασθαί τι τῶν ἀναθημάτων, ἢ τῶν ἐν αὐτῇ Βιβλίων, ἢ μέγα, ἢ μικρὸν, ἢ οἱονδήποτοιοῦν ἕτερον, εἰ μὴ καὶ μᾶλλον διὰ σπουδῆς γενέσθω προστιθέναι καὶ πρὸς ἀφιεροῦν εἰς δόξαν Θεοῦ, καὶ αὐτῶν ὠφέλειαν οὐ τὴν τυχοῦσαν.

### ϟΕ΄.

ὉΜοίως χρὴ τὸν Καθηγούμενον, κατὰ τὴν Ἑβδομάδα τῆς διακαινησίμου, εἰς ἣν δ᾽ ἂν ἐθέλῃ ἡμέραν, ἐπιτηρεῖν ἅπαντα τῆς Ἐκκλησίας. ἔχειν ἐπὶ χεῖρας τὸ βρέβιον. καὶ καθὼς ἐπαρεδόθη ἅπαντα πρὸς τὸν Ἐκκλησιάρχην μήπως ὡς ἀσθενεστέρους ἡμᾶς δελεάζει καὶ ἡττηθῇ

# Καὶ πάλιν λείπει ἓν Φύλλον ἐν ᾧ περιέχονται τὸ ϟϛʹ. καὶ τὸ ϟζʹ. Κεφάλαιον.

Τοῦ πονηροῦ τῇ κακοβουλίᾳ. δράμετε ταχὺ πρὸς τὴν ἐξομολόγησιν, ἡ γὰρ καθαρὰ ἐξαγόρευσις, ἀναπληρώσει ἡμῖν τὴν συγχώρησιν. δικαίως ἐπιβραβεύουσα παρὰ τοῦ προεστῶτος. καὶ μὴ προσπαθῶς, μηδὲ κατά τινα ἔκτισιν θλίψεως, ἀποστερεῖτε τὸ δίκαιον τοῖς τυχοῦσιν Ἀδελφοῖς.

## ϟΗʹ.

Ἀλλὰ πάντα δικαίως κατὰ τὸν τοῦ προεστῶτος ὁρισμὸν, πᾶσαν σὺν σπουδὴν εἰσενέγκατε τὸ μηδὲν, μηδὲ ἄχρι τοῦ σμικροτάτου, ἄνευ εἰδήσεως καὶ γνώμης τοῦ προεστῶτος ποιεῖν, εἰ γὰρ τὶς ὑμῶν τοιοῦτον τὶ διαπράξηται, καὶ διὰ παραινέσεως καὶ νουθεσίας τοῦ τοιούτου ἐγχειρήματος, μὴ ἀναστέλληται, τῷ προσήκοντι ἐπιτιμίῳ ὑποβληθήσεται.

## ϟΘʹ.

Ἀλλ᾽ οὐδ᾽ ἐπ᾽ ἀδείας ἕξει ὁ κελλαρίτης, τοῖς ἑαυτοῦ φίλοις, καὶ συγγενέσι, τὰ τῆς Μονῆς καταπενῶν, ἢ νοσφιζόμενος, ἐκ τῶν βληθέντων αὐτῷ, ἄχρις καὶ ἑνὸς ὀβολοῦ. ἀμέτοχος γὰρ ἔσαι τοῦ Θείου σώματος καὶ αἵματος, ἀλλὰ καὶ τῆς διακονίας ἐκςήσεται, καὶ ἀντ᾽ αὐτοῦ, ἄλλος τὴν ἀρετὴν αὐτὴν κρείττων προβήσεται, καὶ ταύτην τὴν ἀκριβῆ ἐξέτασιν ἔχειν ὀφείλει ὁ Καθηγούμενος, καὶ ὁ Οἰκονόμος, ὅπε τῇ βρώσει καὶ τῇ πόσει τῶν Ἀδελφῶν, τοῦ διακρίνειν ἑκάςῳ κατὰ τὴν ἀναλογοῦσαν ἀσθένειαν.

## Ρ'.

Δέον οὖν, δύο δοχειαρίους παρὰ τοῦ προεστῶτος προχειρίζεσθαι. ὧν ὁ μὲν εἰς τὴν εἴσοδον πᾶσαν διακαθέξει τῆς Μονῆς, καὶ ἀπογράψεται ἐν λεπτῷ, τὰ εἰσοδιαζόμενά τε καὶ ἐξοδιαζόμενα, οὐχ ἁπλῶς οὕτως, ἀλλὰ κατὰ τὴν ῥηθησομένην ὑποτύπωσιν, ἔσται γλωσσόκομον, τῷ δοχείῳ τῆς Μονῆς ἐναποκείμενον, ἐν ᾧ εἰσαχθήσονται πάντα τὰ ὅθεν δήποτε τῇ Μονῇ ἐπερχόμενα, κλεισὶ κατεσφαλισμένον, καὶ σφραγῖσι. ἔσται δὲ καὶ χαρτίον, τάξιν μὲν ἐπέχον παραθέσεως, ἐντὸς δὲ τοιούτου γλωσσοκόμου, καὶ αὐτὸ ἀποκείμενον. τούτῳ προσγραφήσονται πάντα τὰ εἰρημένα κατὰ λεπτόν. ἀφ᾿ ὧν λήψεται καθ᾿ ἕκαστον μῆνα ὁ δοχειάριος, λόγῳ τῶν τῆς Μονῆς ἐξόδων τὰ χρειώδη. καὶ κατακενώσει κατὰ τὸν τοῦ προεστῶτος διορισμόν.

## ΡΑ'.

Μετὰ μέντοι τὴν τοῦ μηνὸς συμπλήρωσιν, συγκαθεσθήσονται ἅμα, ἐν τόπῳ ἀφωρισμένῳ, ὅ τε ὁ προεστώς, καὶ οἱ πρόκριτοι Ἀδελφοί, καὶ προτεθήσεται μὲν τὸ γλωσσόκομον ἐπὶ μέσον. ἀνοιγήσεται δὲ παρὰ τοῦ τὴν κλεῖδα τούτου διακατέχοντος. εἶθ᾿ οὕτως, ἐκβληθήσεται μὲν ἡ παράθεσις πρότερον, καὶ ἀναγνωσθεῖσα, γνώριμα θήσει τὰ προσθέντα τῷ δοχειαρίῳ, εἰς ἔξοδον. εἶτα παραστήσει τὴν τούτων ἔξοδον, οὕτως καθαρὰν καὶ σαφῆ. ἀλλὰ καὶ τὰ ἀπὸ οἵων δήτινων ὑποθέσεων τῶν αὐτῶν μηνῶν εἰσοδιασθέντα παρ᾿ αὐτοῦ, δῆλα πάντως πάντα ποιήσει ὁ δοχειάριος. ἀπογραφήν τε τούτων προκομίσει, δηλοῦσαν τί καὶ ὅθεν παρά τινος καὶ κατὰ ποῖον εἰσοδιάσθη καιρόν. καὶ οὕτω, τά τε εἰσοδιασθέντα καὶ ἐξοδιασθέντα κατὰ τῶν αὐτῶν μηνῶν σαφῶς διαγινωσκόμενα, προσγραφήσονται τῇ παραθέσει ἀριδηλότερον. μετὰ δέ γε τὴν προσγραφήν, αὖθις, ὁ μὲν χάρτης τῆς παραθέσεως τῷ γλωσσοκόμῳ ἐναποτεθήσεται. ὡσαύτως, καὶ τὰ εἴτε ἀπὸ ἐλλογιῶν, εἴθ᾿ ἑτέρωθεν ἐλθόντα πρὸς τὴν Μονήν, ὁ δέ γε δοχειάριος, ῥητὰ πάλιν ἀπὸ τοῦ γλωσσοκόμου, νομίσματα ἕτερα λήψεται, λόγῳ τῶν ἐξόδων τοῦ εἰσελθόντος μηνός. εἶτα αὖθις κλεισθήσεται τὸ γλωσσόκομον, καὶ παρὰ τῶν εἰρημένων Ἀδελφῶν σφραγισθὲν, τῷ συνήθει τόπῳ ἀποτεθήσεται. καὶ οὕτω σαφοῦς καὶ καθαρωτάτης πάσης εἰσόδου τε καὶ ἐξόδου γινομένης καὶ καταφανοῦς, οὐχ ὑπολειφθήσεταί τι, τὸ σύνολον σκάνδαλον, ἢ κατὰ τοῦ τὴν τοιαύτην ἐμπεπιστευμένου διακονίαν, εἴθ᾿ ἑτέρου τινός. ἐκτὸς τοιγαροῦν τοῦ τοιούτου γλωσσοκόμου, ἐν Ἁγίῳ

Πυλί-

Πνεύματι ἐντελλόμεθα, μήτε τὸν μεθ' ἡμᾶς τὴν Ἡγουμενίαν διαδεξόμενον, μήτε αὐτὸν τὸν τὰ δευτερεῖα ταύτης ἔχοντα, τὸν οἰκονόμον φημὶ, μήθ' ὃν τινα οὖν ἕτερον, ἓν καὶ μόνον νόμισμα, ἢ πλείονα, ἢ ἐλάττονα παρ' ἑαυτῷ καταχεῖν. διὰ τὸ μέλλειν πάντα ὡς εἴρηται φανερῶς εἰσοδιάζεσθαι καὶ ἐξοδιάζεσθαι.

## ΡΒ'.

Τὰ δέγε ἄμφια πάντα τῆς Ἀδελφότητος, ἱμάτια τυχὸν καὶ μανδύας, Ἀποστολικὰ, καὶ λοιπὰ παρὰ τοῦ δοχειαρείου καλῶς τηρηθήσονται, καὶ τοῖς χρήζουσι τῶν Ἀδελφῶν, καθ' οὓς ἂν ὁ προεστὼς αἱρῆται καιροὺς, δεόντως διαδοθήσεται. ἡ μέντοι τούτων ἐξώνησις παρ' αὐτοῦ τούτου ἔσται προβαίνουσα, ἢ ἑτέρου τῶν Ἀδελφῶν, τοῦ δοκιμασθέντος δηλονότι πεῖραν κεκτῆσθαι περὶ τὰ τοιαῦτα, ἱκανήν. ὠνεῖσθαι δὲ τὰ τοιαῦτα κατὰ τοὺς καιροὺς προσήκοντας ἐπιτρέπομεν. περιποιεῖσθαι δὲ καὶ τὰ Παλαιὰ κατὰ δύναμιν, καὶ χρᾶσθαι τούτοις βουλόμεθα μόνην γὰρ τὴν ἀναγκαίαν ζητητέον χρείαν, τὸ δὲ περιττὸν, ὡς τοῦ ἐναντίου μισητέον. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν μανδύων καὶ ἐπὶ τῶν ἐπιστηθίων, καὶ τῶν ὑποδημάτων καὶ πάντων ἁπλῶς τῶν χρειωδῶν λέγομεν.

## ΡΓ'.

Ὅταν οὖν χρεία εἴη ἀναγκαίως, καινότερόν τι τούτων ἀπολαβεῖν τινὰ, τὸ παλαιὸν κομιστέον ἄρα ἐν τῷ δοχείῳ. δοτέον δὲ αὐτῷ τοῦτο, καὶ ἕτερον ἀποληπτέον, εἰδήσει τοῦ προεστῶτος. ἄλλως γὰρ, εἰμὴ τὰ Παλαιὰ κομίζοιντο, καινὰ διδόναι, οὐκ ἐπιτρέπομεν, καὶ ταῦτα μὲν διαπράξεται ὁ δοχειάριος.

## ΡΔ'.

Ὁ δέγε ἄλλος ἴδιον καὶ αὐτὸς ἐχέτω καὶ ἀφωρισμένον οἴκημα, δοχεῖον καὶ τοῦτο ὀνομαζόμενον, κἀν τούτῳ τὴν παχυτέραν ὕλην ἅπασαν τῆς Μονῆς, ἐναποκειμένην τυγχάνειν. γεωπονικὰ τυχὸν ἐργαλεῖα, χαλκώματά τε καὶ ἄλλα τῇ Μονῇ χρειώδη καὶ ἀναγκαῖα, ἃ διαφυλάξει ἐπιμελέστερόν τε καὶ ἀσφαλέστερον, μετὰ προσγραφῆς ταῦτα παραλαμβάνων, καὶ αὖθις ἀποδιδοὺς τοῖς χρείαν ἔχουσι τούτων διακονηταῖς, εἰς τε τὰς γεωπονικὰς καὶ λοιπὰς δουλείας τῆς Μονῆς, ὡς ἂν εἴδησιν ἔχει ὁ τοιοῦτος, ποῖα καὶ πόσα τῶν προσφόρων ἐργαλείων ἑκάστῳ πρόσεισι

σεισι τῶν διακονητῶν, τοῦ αὐτοῦ δὲ δοχειαρίου ἔργον ἔσαι, καὶ τὸ, τὸν χαλκοῦτζιν ἐπιτηρεῖν τῆς Μονῆς.

## ΡΕ΄.

Αναγκαῖον μοι καὶ τῶν ἄλλων ἐπιμνησθῆναι διακονιῶν. οἷον τὸν ὀρειάριον φημὶ, καὶ τὸν ἀποθηκάτορα. ἀλλὰ δὴ καὶ τοὺς ςρατοκόπους, τοῦ ἔχειν πρῶτον μὲν τὸν φόβον τοῦ Θεοῦ. καὶ κατὰ τὸν προεςῶτος ὁρισμὸν ἅπαντα ποιεῖν, οὔτε τῇ εἰσόδῳ καὶ ἐξόδῳ. πάντα μέτρῳ διδόσθαι, καὶ μέτρῳ λαμβάνειν. ὥςπερ φησὶ τὸ Ἱερὸν Εὐαγγέλιον. ὅτι ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. καὶ κατὰ τὴν συνήθειαν ἣν παραλάβετε παρ᾽ ἐμοὶ, τὴν ἄνωθεν παρακολουθοῦσαν, οὕτως ποιεῖτε, καὶ εὖ ἔςω ὑμῖν. εἰδ᾽ ἴσως τὶς ἐξ ὑμῶν παρὰ γνώμην τοῦ προεςῶτος ποιείη, καὶ νοσφισμόςτις γίνεται ἀπὸ τῶν ἀνατιθέντων αὐτῶν, ὑπόδικος ἔςαι τῇ ἁγνῇ Θεομήτορι, ἀφ᾽ ἧς ἄρα καὶ τὴν διακονίαν παρέλαβεν. ὑποσχόμενος προθύμως, καὶ ἀδόλως διακονῆσαι. ἀλλὰ καὶ ὁ προεςὼς, τοῦτον μὲν ἐκβαλεῖ τῆς διακονίας, καὶ ἄλλον ἀντ᾽ ἐκείνου πάντως προσβλήσεται. τῷ δὲ ὑπούλως διακονοῦντι, δοθήσεται ἐπιτίμιον, ἐν ἄρτῳ καὶ ὕδατι, κατὰ τὴν τοῦ σφάλματος, ἀναλόγως ποσότητα.

## Ρς΄.

Επεὶ δὲ τούτοις, καὶ τοῦτο ὑμῖν διακελεύομαι, τοῖς ἐμοῖς πατράσι καὶ Ἀδελφοῖς, ὡς ἂν εἴη πᾶσι, ἡ αὐτὴ τροφή τε καὶ πόσις, μόνους γὰρ ἐκείνους θεραπευτέον ἐν ἅπασι, καὶ χειραγωγητέον, εἰς δύναμιν, ὅσοι δὴ προφανεῖς ἀῤῥωςείας περίκεινται.

## ΡΖ΄.

Καὶ δέονται τυχὸν διὰ τοῦτο βρώσεώς τε καὶ πόσεως, κρείττονος πρὸς σύςασιν τοῦ ἀσθενοῦς αὐτῶν καὶ ταλαιπώρου σώματος. τοῦτο γὰρ καὶ διακείσεως οἶμαι, καὶ τὴν συνείδησιν τῶν λοιπῶν, διατηρούμενον, ἀσκανδαλίςως.

## ΡΗ΄.

Οἱ Ἀδελφοὶ δὲ ἡμῶν οἱ ἄῤῥωςοι, μὴ τοῦτο τεθαῤῥηκότες ἐκλύουσιν ἑαυτοὺς, ζητοῦντες περιττά τινα, καὶ ἅπερ ἴσως οὐδὲ εἰς ἀκοὴν ποτὲ

ποτὲ ἐδέξαντο, μὴ ὅτι γε εἶδον, ἢ ἔφαγον, ἀλλὰ συνεχέστερον ἑαυτοὺς, καὶ συστελλέτωσαν, ἀρκούμενοι ἐκείνοις καὶ μόνοις, οἷς ἄρα ἡ τοῦ καιροῦ, καὶ τῆς εὐπορίας τῆς Μονῆς περιφορὰ, τούτοις δεξιοῦται. εἰ γὰρ καὶ ἐπιμελεῖσθαι αὐτῶν, διὰ τὴν ἐντολὴν, ἐντελλόμεθα, ἀλλ᾽ οὐχὶ καὶ τρυφᾷν αὐτοὺς παραχωροῦμεν. συνεσταλμένως δὲ μᾶλλον ζῇν, καὶ ὡς δεῖ τοὺς Μοναχούς. ἵνα καὶ αὐτοὶ τὸν τῆς ὑπομονῆς μισθὸν, ὃν ἡ στέρησις τῶν ὀρέξεων, καὶ ἡ τῆς ἀῤῥωστίας δυσχέρεια, προξενεῖν αὐτοῖς μέλλει ἐκ Θεοῦ ἀπολαύσωσιν.

## ΡΘ΄.

Ἐπειδὲ τῇ τοῦ Θεοῦ προνοίᾳ ἀῤῥήτῳ, καὶ τῆς ἀσπόρως αὐτὸν τεκούσης ἁγνῆς Θεομήτορος, καὶ κτήσεις τινὲς ἀκίνητοι ἐπεκτίσθησαν τῇ Μονῇ, ὥσπερ ἄνωθεν εἴρηται. καὶ δεῖ τοῦτο φροντίζειν τὸν προεστῶτα, καὶ παρατηρητέον αὐτῷ τὰ εἰς δύναμιν, ὁποίους εἶναι δεῖ τοὺς εἰς τὴν τούτων πρόνοιαν πεμπομένους Ἀδελφοὺς, εὐλαβεῖς δηλονότι καὶ σώφρονας καὶ γηραιοὺς εἰς ἅπαν εἰ δυνατὸν, καὶ πρὸς τὰ πάθη νεκροὺς, διὰ τὰς τοῦ βελίαρ ἐπιβουλάς.

## ΡΙ΄.

Κοσμικὸν δὲ διακονίαν τοιαύτην τινὰ τῆς Μονῆς ἐγχειρίζεσθαι, οὐκ ἐπιτρέπω, αὐτὸ τῶν γηπόνων, καὶ τῶν ποιμένοντων τὰ θρέμματα.

## ΡΙΑ΄.

Εἰ δ᾽ ἴσως εἴη ἐπίκτησις μὴ πλησιάζουσα τῇ Μονῇ, ἀλλὰ καὶ ψυχικὴν ἔχουσα βλάβην, τὴν τοιαύτην ἐπιτρέπω, δοθῆναι ἐπὶ συμφόνῳ, ἢ ἀνταλλάγματι πλησιέστερον, ἔχουσα ἡ Μονὴ τὴν ἀνήκουσαν ποσότητα τῆς εἰσόδου, τὰς δὲ τοιαύτας ἐπικτήσεις, καὶ πλησιεστέρας, ἀνεκποιήτους εἶναι βουλόμεθα παντάπασι καὶ ἀναφαιρέτους, παρὰ μηδενὸς ἀφαιρουμένας ἢ ἐκποιουμένας ποτὲ τὸ σύνολον, χωρὶς ταῖς ἐχούσαις ψυχῶν βλάβην. εἰ καὶ ταύτας οἱ Φιλόχριστοι καὶ ἡμεῖς ἐξωνησάμεθα, καὶ ἐπικτησάμεθα μετὰ πολλῶν κόπων καὶ ἐξόδων καὶ διὰ τροφὴν καὶ περιποίησιν τῶν ἀσκουμένων συναδελφῶν ἡμῶν. καὶ ὁ τούτων τὶ ἀποκτησάμενος, ἢ ἀφορισόμενος διὰ πρόφασιν οἱανδήτινα, τὸ τῆς ἱεροσυλίας ὑποπεσεῖται πάντως ἐγκλήματι. καὶ ταῖς ἐπὶ τούτων νομίμοις εὐθύναις ὑπόδικος, χωρὶς ψυχῶν βλάβην.

Λοι-

## ΡΙΒʹ.

Λοιπὸν καὶ πρὸς τὰ ἄλλα τὸν Λόγον, ἰτέον, καὶ λεκτέον, καὶ περὶ ἐκείνων ἐνδεχομένως, περί τε τῶν συναδελφῶν ἡμῶν, τῶν ἐν τῷ ἀρτοκοπίῳ κοπιώντων, τὴν ἅπασαν ἀκολουθίαν καὶ αὐτοὺς ἐκπληρωτέον, καὶ μὴ ματαίαις πρὸς ἀσχολοῦντας ταῖς Ὁμιλίαις. εἴωθεν γὰρ τοῦτο ἐν ταῖς συνελεύσεσι γίνεσθαι. δοθῆναι δὲ διακελεύομαι πρὸς τοὺς κοπιῶντας Ἀδελφοὺς οἶνον εὐλογίαν, τὸ κατὰ συνῆθες διδόμενον ἐξάγιον.

## ΡΙΓʹ.

Ἀλλὰ δεῖ ἐπιφωνεῖν καὶ τοὺς ἐν ἐργοχείρῳ ὄντας, τόν τε σκυτοτόμον, τοὺς τέκτονας καὶ χαλκέας, τοῦ μὴ συνέρχεσθαι τινὰς τῶν ἀφελεστέρων Ἀδελφῶν, χωρὶς τῆς τοῦ προεστῶτος εἰδήσεως, καὶ προσασχολοῖντο εἰς ἀργολογίας, καὶ εἰς αἰσχρολογίας ἐκτρέποιντο. ἐκ πολυλογίας γάρ φησιν οὐκ ἐκφεύξει ἁμαρτίαν. νουθετεῖσθαι δὲ παρὰ τοῦ κρείττονος μὴ παραιτείσθωσαν, ἐντελλόμεθα γὰρ αὐτῷ, τοῦτο ποιεῖν ἐξ ἀγάπης καὶ πόθου, τῶν ψυχοβλαβῶν ἀφεμένων, ἀπὸ τῶν Θείων γραφῶν διαλέγεσθαι.

## ΡΙΔʹ.

Προσήκει τοιγαροῦν καὶ ἐπιστημονάρχην προσεῖναι τῇ Μονῇ. ἐπισυνάγοντα τοὺς Ἀδελφοὺς ἐν ταῖς τῶν ψαλμῳδιῶν εἰς τὸν ναὸν εἰσελεύσεσιν. ἀρξαμένου ἤδη τοῦ κανδηλάπτου κρούειν τὰς βαρέας, διαναστάς, ἀπελεύσεται πρὸς τὴν κέλλαν τοῦ Καθηγουμένου, καὶ ἑνὸς ἑκάστου τῶν Ἀδελφῶν, καὶ ἐπιβοώμενος γεγονότερον. τὸ εὐλόγησον Πάτερ, διεγείρει πάντας πρὸς τὴν τῆς μεσονυκτικῆς Ἀκολουθίας ἐκπλήρωσιν, τοῦ δὲ ὄρθρου ψαλλομένου, δὶς τοῦ ναοῦ ἐξελεύσεται, μετὰ τὸν ἑξάψαλμον, καὶ μετὰ τὴν ἕκτην ᾠδήν, καὶ παραβαλεῖ τοῖς κελλίοις τῶν Ἀδελφῶν, καὶ οὓς ἂν εὑρήσει ἐκ ῥαθυμίας ἴσως ὑπνώττοντας, ἢ ἐκ τῆς ἐπιγινομένης ταλαιπωρίας τῶν διακονιῶν, ἀφυπνώσει καὶ πρὸς τὸν Θεῖον εἰσάξει ναόν. τοῦτο δὲ ἅπαξ καὶ τῇ Θείᾳ τελέσει Μυσταγωγίᾳ, καὶ ἐν αὐτῷ τῷ Ἑσπερινῷ, καὶ τοῖς Ἀποδείπνοις. ἀλλὰ κἂν τῷ ἀριστερῷ χορῷ, αὐτὸς ὀφείλει τάσσειν τοὺς μέλλοντας ἐνάρξεις ποιεῖν κατὰ πᾶσαν σύναξιν. ἐπιτηρήσει δὲ συχνότερον καὶ τοὺς Ἀδελφοὺς ἐν πάσῃ ὥρᾳ εἰ δυνα-

τὸν, καὶ ἀνελλόγως ἴσως συγκαθημένους, ἢ ἀργολογοῦντας, ἢ ἀργοῦντας, ἢ θ' ἕτερόν τι ποιοῦντας ἀπρεπὲς καὶ ἀνόνητον, Ἀδελφικῶς καὶ ἐν ἀγάπῃ παραινέσει, καὶ διορθώσεται πείσειε ἐν ταῖς αὐτῶν εἰσιέναι κέλλαις, καὶ τῇ ἀρχῇ προσανέχειν καὶ τῷ ἐργοχείρῳ ἀπείξ. καὶ ταῦτα μὲν ἐφ' ὅλῳ διαπράξεται τῷ ἐνιαυτῷ. ἐν δὲ ταῖς κατὰ τὴν Ἁγίαν καὶ μεγάλην Τεσσαρακοστὴν γινομέναις ἀναγνώσεσιν, ἐν τῷ ὄρθρῳ καὶ ταῖς ὥραις, τῆς οἰκείας ἕδρας ἀνιστάμενος, τρεῖς ποιεῖν ὀφείλει γονυκλισίας, τοῦ Ἁγίου βήματος ἔμπροσθεν ἀσκεπής, διέρχεσθαί τε καθ' ἕνα τοὺς Ἀδελφοὺς, καὶ ὃν ἂν ἐφεύροι τυχὸν ὑπνώττοντα, καὶ μὴ γρηγοροῦντα πρὸς τὴν τῆς ἀναγνώσεως ἀκρόασιν, ἀφυπνίζειν, ἀναπείθειν τε τὸν διϋπνισθέντα ἀνίστασθαι, καὶ ποιεῖν ἐν τῷ μέσῳ τοῦ Θείου ναοῦ μετανοίας τρεῖς, καὶ τοῖς δυσὶ χοροῖς ἀνὰ μίαν, καὶ οὕτω καθεσθέντα, προσέχειν τῇ ἀναγνώσει ἐπιμελέστερον.

## ΡΙΕ΄.

Γυναιξὶ δὲ, ἄβατος ἔσται παντάπασιν ἡ Μονή. καὶ οὐδὲ προσκυνήσεως χάριν εἰσιτητέα ὅλως αὐταῖς εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ἀλλ' οὐδὲ κρέας ταύτης ἐντὸς βρωθήσεται πώποτε. ἀλλ' οὐδὲ παῖδας λαϊκοὺς εἰς μάθησιν τῶν Ἱερῶν γραμμάτων, ἀλλὰ πάντα γυμνάτας, εἰ καὶ τοὺς τὸν οὖλον, ἴσως ἐπανθοῦντας, κεκτημένους ταῖς παρειαῖς, τοὺς δὲ μονάσαι θέλοντας παῖδας, διὰ τὸ τῆς Ἐκκλησίας καταλαβεῖν τὴν ἀκολουθίαν, δοθήτωσαν ἐν ἰδιάζοντι κελλίῳ τῆς Μονῆς, καὶ τὸ Ἱερὸν Ψαλτήριον διδασκέτωσαν, καὶ τὴν ἄλλην ἅπασαν Ἀκολουθίαν, καὶ οὕτως εἰσιτητέον αὐτοὺς καὶ δεκτέον. χάριν δὲ ὑδροφορίας, ἢ ἑτέρας διακονίας, οὔτε εἰσαχθήσονται, οὔτε δουλεύσουσι.

## ΡΙϛ΄.

Ἐπειδὴ πολλὴν ἀρετῆς βασιλικωτάτην, τὴν φιλοξενίαν γινώσκομεν, ἥτις ἐξ ἀγάπης ἔσωθεν ἀποτίκτεσθαι, τῆς πρώτης τῶν ἀρετῶν, βουλόμεθα καθὼς καὶ ἕως τοῦ νῦν ἐτελεῖτο, καὶ πάλιν γίνεσθαι ἐπὶ τοῖς τραπεζομένοις Μοναχοῖς, ἐν τῇ Ἁγίᾳ Μονῇ, ὅποθεν ἂν καὶ εἶεν, δέχεσθαι μὲν πάντας, καὶ ἀπονέμειν αὐτοῖς τὴν ἀναλογοῦσαν τροφὴν τῆς ἡμέρας, ἐξ ὧν ἐσθίουσιν οἱ Ἀδελφοί. εἰ δέ τις ἐξ αὐτῶν, τῶν ἀξιολόγων εἴη, καὶ τοῦ ζωοδόχου τάφου προσκυνήσεως χάριν ἡ ἐνδημία, ἐν σερβίζεσθαι τοῦτον, καὶ δέχεσθαι ἐπὶ τῇ κοινῇ τραπέζῃ, καὶ ἐπίσης τοῖς Ἀδελφοῖς διατρέφεσθαι ἐφ' ὅλαις τρισὶν ἡμέραις ἐπιξενούμενον.

## ΡΙΖʹ.

Ἀλλὰ καὶ τῶν ἀπὸ τῆς χώρας ἀρχόντων παραβαλλόντων, τῶν Ἀδελφῶν τηνικαῦτα ξηροφαγούντων, τὸν μὲν τοῦ κοινοβίου τόπον, φυλάττεσθαι χρή. τὸν δὲ παραβαλόντα ὑποδέχεσθαι ἄλλως, καὶ συγκαθεσθήτω τῷ προεστῶτι, καὶ ἀκατακρίτως συνεσθιάτω, καὶ τῆς ἀναλογούσης τιμῆς ἀξιωθήτω.

## ΡΙΗʹ.

Οἱ δὲ προσερχόμενοι τῷ πυλῶνι συχνοτέρως πένητες καὶ συναδελφοὶ ἡμῶν, ἐπεὶ πάντας ἔνδον εἰσάγεσθαι τοῦ Μοναστηρίου ἀδύνατον, ἀλλ' ἐν τῷ ξενοδοχείῳ τῷ ἔξωθεν τῆς Μονῆς. καὶ ὁ ξενοδόχος ἐπιχορηγήσει ἑκάστῳ ἄρτον, καὶ τὰ ἀπὸ τῆς τραπέζης παραμυθείσεται. οὐδὲ γὰρ ὑποστρέφειν τινὰ τοῦ πυλῶνος αἱρούμεθα νῆστιν. ἀλλὰ πρὸς τὴν διατυπωθεῖσαν ἄνωθεν συνήθειαν καὶ πάντας ἀνακτᾶσθαι τροφῆς καὶ εὐποιΐας τὸ κατὰ δύναμιν.

## ΡΙΘʹ.

Εἰ μή τις ἴσως εἴη γυνή, ταύταις γὰρ οὐ μεταδοτέον. οὐ μισοῦντες τὸ συγγενὲς, ἄπαγε, ἀλλὰ τὴν ἐκεῖθεν βλάβην ἀφορώμενοι, ὡς μὴ συνηθείας κρατούσης, πυκνότερον τῷ πυλῶνι παραβάλλειν αὐτὰς, καὶ κακῶν αἰτίας μᾶλλον ἢ ἀγαθῶν, τοῖς Ἀδελφοῖς εὑρίσκεσθαι καὶ τοῦτον φυλάττειν τὸν ὅρον ὁ προεστὼς καὶ ὁ Οἰκονόμος, καὶ ὁ ξενοδόχος, ἄχρι παντὸς ἐντελλόμεθα ἐν Ἁγίῳ Πνεύματι. καὶ τὰ μὲν τῆς φιλοξενίας καὶ ἐλεημοσύνης, οὕτως ἀεὶ τηρηθήσονται. ἐπὶ δὲ τὰ συμφέροντα τοῖς Ἀδελφοῖς τὸν Λόγον αὖθις τρεπτέον.

## ΡΗʹ.

Ἐφείσθω τοίνυν τῷ προεστῶτι καθ' οὓς ἂν αὐτὸς αἱρείτω καιροὺς, εἰς τὰ τῶν Ἀδελφῶν κελλία εἰσέρχεσθαι καὶ ἀναψηλαφᾶν, μήπου τὶς ἐργόχειρον κατασκευάζει, τῆς αὐτοῦ βουλῆς καὶ γνώμης ἐκτός. εἴτε τὰ λεγόμενα κατὰ κοινολεξίαν μαργούνια, εἴτε τινὰ κτῆσιν ἑτέραν καὶ τῶν εὐτελεστέρων ἀναθεωρούμενα, καὶ εἰ εὑρίσκειεν, ἀφαιρείσθω ταῦτα, καὶ ἢ πυρὶ καίειν, ἢ τοῖς πτωχοῖς διανέμειν. αὐτὸν δὲ τὸν

κτησάμενον, τὰ δέοντα παραινεῖν, καὶ τοῦ τοιούτου ἀναστέλλειν ἐκ ποτε ἐγχειρήματος, ὡς ἐναντία διαπραττόμενον τῷ τῆς Μονῆς Κανόνι. ὅπερ ὁ μέγας ἔφη Βασίλειος. „ περιέχων ῥητῶς οὑτωσὶ, εἴτις κέκτηται ἐν „ τῷ Μοναστηρίῳ τὶ, εἴτε ἐκτὸς τοῦ Μοναστηρίου, ἔσω ἀκοινώνητος.

## ΡΚΑ΄.

Ἀλλ᾽ ἀναγκαῖον μοι καὶ ἄλλων ἐπιμνησθῆναι Κανόνων αὐτοῦ, τοῦ Μεγάλου Πατρὸς ἡμῶν Βασιλείου. ἐπὶ τοῖς τὸν μοναδικὸν ἐπανῃρημένοις βίον ἐκτεθειμένων.

## ΡΚΒ΄.

Ὁ Συνεγνωκὼς Ἀδελφὸν, τὴν ἐκ τοῦ Μοναστηρίου ἔξοδον, καὶ ἢ συνομιλήσας, ἢ συνευδοκήσας, καὶ μὴ προσαγγείλας, ἀφοριζέσθω ἔξω τῆς Ἐκκλησίας, Ἑβδομάδα μίαν ἄρτου καὶ ὕδατος.

## ΡΚΓ΄.

Εἴτις ἐξέλθῃ τῆς Μονῆς χωρὶς παραθέσεως τοῦ προεστῶτος, ποιείτω Μετανοίας ἑκατὸν, καὶ ξηροφαγίαν ἡμέρας τρεῖς.

## ΡΚΔ΄.

Εἴτις ἐν τῇ τραπέζῃ ἐσθίων φλυαρεῖ, ἢ ἐξ ἀπροσεξίας ποιήσει τὶ μὴ ἀρέσκον, ἐγειρέσθω καὶ ψαλλέτω κατὰ τὸ σύνηθες, Ἐλέησόν με ὁ Θεὸς, καὶ αἰτείτω συγχώρησιν.

## ΡΚΕ΄.

Εἴτις μὴ λαβὼν εὐλογίαν ἐσθίει, ποιείτω μετανοίας πεντήκοντα.

## ΡΚϛ΄.

Εἴτις ἀπολιμπάνεται τῆς πρώτης τραπέζης, μὴ εἰρηκὼς τὴν αἰτίαν, μενέτω ἄσιτος ἕως ἑσπέρας.

# ΡΚΖʹ.

Εἴ τις ὑφθάσει τὴν εὐχὴν τῶν ἀποδείπνων, βάλλων τὴν συνήθως μετάνοιαν, ψαλλέτω τὴν ἅπασαν Ἀκολουθίαν, καὶ ποιείτω μετανοίας ν΄.

# ΡΚΗʹ.

Εἴ τις τῶν Ἀδελφῶν ἀκαίρως εἰσέρχεται εἰς τὸ ἐψιτήριον φλυαρῶν καὶ διαπαττόμενος, χωρὶς τῶν διακονητῶν, καὶ τοῦ Οἰκονόμου, ποιείτω μετανοίας λ΄.

# ΡΚΘʹ.

Εἴ τις μετὰ τὴν μετάνοιαν εὑρεθῇ ὁμιλῶν, ἢ ἰδιάζων μετά τινος, ποιείτω μετανοίας. ν΄.

# ΡΛʹ.

Εἴ τις χωρὶς ἐπιτροπῆς, ἢ χρείας ἀναγκαίας, εἰσέλθοι εἰς κελλίον ἄλλου, ἢ κοιμηθῇ, ἢ πιάσει ἐρχόχειρον, ἀφοριζέσθω ἡμέρας τρεῖς, ἔξω τῆς Ἐκκλησίας, καὶ τῆς τραπέζης, καὶ ξηροφαγῶν.

# ΡΛΑʹ.

Εἴ τις εὑρεθῇ γράφων τινὶ, ἢ δεχόμενος γράμμα, χωρὶς τοῦ Ἀββᾶ, ξηροφαγείτω ἡμέρας τρεῖς, ὡσαύτως καὶ ὁ λαμβάνων καὶ ὁ δίδων, χωρὶς τοῦ Οἰκονόμου, ἀφοριζέσθω.

# ΡΛΒʹ.

Εἴ τις τῶν γεωπόνων, ἢ τῶν κηπουρῶν, ἢ ἀμπελικῶν, ἢ ποιμένων, χωρὶς τοῦ εὐλογηθῆναι τὰς οἱασοῦν ὀπώρας καὶ καταλύσει, ποιείτω μετανοίας πεντήκοντα, καὶ ξηροφαγείτω ἡμέρας ε΄.

## ΡΛΓ′.

Εἴ τις χωρὶς ἐπισκοπῆς καὶ εὐχῆς τοῦ Ἀββᾶ, τεμεῖ φλέβαν, ἢ χηροκομεῖ, ἢ ἱμάτιον, ἢ ὑπόδημα φορέσει, ποιείτω μετανοίας. ν′.

## ΡΛΔ′.

Εἴ τις ἄρῃ καρπὸν ἀπὸ δένδρου, χωρὶς τοῦ φυλάττοντος, ἢ τοῦ κηπουροῦ, ποιείτω μετανοίας κε′.

## ΡΛΕ′.

Ὀφείλουσι δὲ καὶ οἱ διακονηταί. καὶ οἱ φροντισταὶ τῶν λοιπῶν ἁπασῶν χρειῶν, ἐπιμελῶς περὶ πάντων φροντίζειν, ἵνα μὴ τῷ κρίματι τῆς ἀμελείας ὑποπέσωσι.

## ΡΛϚ′.

Δέον τοὺς παραγινομένους συγγενεῖς τῶν κατὰ τὴν μονὴν Ἀδελφῶν, διὰ τοῦ ἐπὶ τῆς πύλης ἐπιστατοῦντος, τῷ Ἡγεμόνι καταμηνῦσαι, καὶ πρῶτον μὲν τῆς τούτου καταξιοῦσθαι Θέας, εἶθ' οὕτως δι' ἐπισκοπῆς αὐτοῦ καὶ τὴν κατὰ συγγένειαν ὀπτάνεσθαι, ὡς ἂν καὶ ἡ τοῦ Καθηγουμένου βουλὴ παρασκευάσει, καὶ ἡ τοῦ παραβαλόντος ἐξέτασις ἐμφανίσει. ὁ δὲ τῷ ὅρῳ τούτῳ μὴ ἐμμένων, καὶ αὐτὸς χωρὶς εἰδήσεως προέλθῃ τῷ ἀγχιστεῖ, ἀφοριζέσθω ἄρτου καὶ ὕδατος ἡμέρας τρεῖς. ὅπως μὴ φρονῇ ὑπὲρ ὃ δεῖ φρονεῖν.

## ΡΛΖ′.

Ταῦτα τοίνυν εὑρόντες ἡμεῖς καὶ συντείνειν ἐγνωκότες εἰς ὠφέλειαν τῆς Ἀδελφότητος, ἐκ τῶν Κανόνων τοῦ Μεγάλου Βασιλείου συλλέγξαντες ὡς προείρηται, ἐνέγραπτα σὺν τοῖς ἄλλοις ἐποιησάμεθα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΡΛΗ΄.

Οἱ μὲν οὖν παραδοθέντες ὑμῖν τύποι τε καὶ Κανόνες παρὰ τῶν Πατέρων ἡμῶν, ἐν τούτοις συμπεπεράτωνται, καὶ εἰ τὸ ἐμὸν λογικὸν ποίμνιον τούτους φυλάξοιεν, πρώϊμον πάντως τούτων ῥαγήσεται τὸ φῶς, καὶ τὰ ἱμάτια αὐτῶν, ἐξ ὕψους ἀνατελεῖ. εἰδ᾽ ἴσως τοῦ ναυτίου ἐκτραπείη, καὶ πατρικὰς ἀθετήσει ἐντολὰς, ἀθετηθήσεται πάντως αὐτῷ, καὶ τῆς παρακοῆς κομίσεται τἀπίχειρα. ἀλλὰ μὴ Κύριε ὁ Θεός μου, μὴ οὕτως γένηται ἐπὶ τοῖς ἐμοῖς Ἀδελφοῖς, μηδὲ ὁ δεινὸς θὴρ, τούτους διαταράξειεν. ἀλλ᾽ ὥσπερ ἕως τοῦ νῦν, τετήρηκας, ἐν τῷ σῷ Ἁγίῳ ὀνόματι, οὕτω καὶ ἕως τέλους συντήρησον, ἵνα τὸ σὸν ποιῶσι θέλημα, θέλημα δὲ πάντως σὸν, τὸ κατ᾽ ἴχνος βαίνειν τούτους τῶν Ἁγίων σου ἐντολῶν.

# ΡΛΘ΄.

Αἴτια δὲ τοῦ ταῦτα πάντα ποιῆσαι ἡμᾶς ἀνάγραπτα, ἐν τῇ παρούσῃ Τυπικῇ διατάξει, καὶ ἄλλα μὲν οὐκ ὀλίγα, ἅτινα μηδὲ ἀγνοεῖν τοὺς ἐμοὺς ἐν Χριστῷ Πατέρας καὶ Ἀδελφοὺς οἴομαι. ἔτι γε μὴν καὶ αὐτὸς ὁ ἀπὸ τῆς σιωπῆς ἐπηρτισμένος μοι κίνδυνος, καθὼς αἱ θεῖαι με γραφαὶ διδάσκουσιν. οὐαὶ γάρ φησιν ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν. καὶ εἰ σκοπὸς παρὰ τῷ Ἰεζεκιὴλ, καὶ τῇ ἀληθείᾳ, ὁ προεστὼς τῶν ψυχῶν, καὶ ἔστι καὶ ὀνομάζεται, πῶς ἂν τὴν ἠπειλημένην δι᾽ ἐκείνου ῥομφαίαν ἐξέφυγον, καὶ τὴν ἔκτισιν τοῦ αἵματος τοῦ ποιμνίου, εἴγε μὴ πάντα προεθέμην εἰς μέσον. υἱὲ γὰρ φησὶν ἀνθρώπου, σκοπὸν τέθεικά σε τῷ λαῷ μου. εἰ μὲν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην καὶ διαμαρτύρει αὐτοῖς, ἀθῶος εἶ. εἰδ᾽ οὖν, τὸ αἷμα αὐτῶν ἐκ τῶν χειρῶν σου ἐκζητηθήσεται. ταῦτα δὴ πάντα, τὴν Τυπικὴν τῆς διατάξεως ἔκθεσιν ἀναγκαίαν μοι πεποιήκασιν. ἵν᾽ ὥσπερ ἐν πρωτοτύπῳ Κανόνι καθ᾽ ἑκάστην ταύτῃ ἐνατενίζοντες, οἱ ἐμοὶ Πατέρες καὶ Ἀδελφοὶ, ἐκ ταύτης τυπῶσι τὸν βίον αὐτῶν. καὶ καθ᾽ ἑαυτοὺς ἀναζωγραφῶσι τὰ θέσμια τῆς παρούσης ἡμῶν ἐντολῆς, καὶ οὕτω διαφυλάττοιεν ἀπαράτρωτα, καὶ τὸ συνειδὸς καθαρὸν παραστήσαιεν ἐπὶ τοῦ ἀδεκάστου κριτοῦ, διὰ τῶν θερμῶν, πρεσβειῶν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ δι᾽ εὐχῶν τῶν Μακαρίων γερόντων καὶ Πατέρων ἡμῶν. ὑμεῖς δὲ σώζοισθε, καὶ μεγαλύνοισθε καὶ εἰρηνεύοιτε, καὶ ζηλωταὶ παρὰ πᾶσιν ἐπὶ τῇ ἀγαθῇ ὑμῶν καὶ σεμνῇ πολιτείᾳ γένοισθε, πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν.

## ΡΜ΄.

Ἴδου γὰρ δὴ καὶ Ἡγούμενον, προνοίᾳ Θεοῦ ὑμῖν τῷ ἐμῷ ποιμνίῳ, καταλιμπάνω, τὸν Ἱερομόναχον καὶ ἐμὸν μαθητὴν, κύριον Ἰωακείμ, ὀφείλοντα μετὰ τὴν ἐμὴν ἀποβίωσιν τὴν προστασίαν πᾶσαν τῆς Μονῆς ἀναδέξασθαι, ἄνδρα ἐπ' ἀρετῇ καὶ εὐλαβείᾳ μεμαρτυρημένον, συνέσει τε καὶ λογιότητι καὶ Πνευματικῇ καταστάσει κοσμούμενον, καὶ τοῖς λοιποῖς ἀγαθοῖς προτερήμασι. καὶ πολλά μοι ὡς καὶ ὑμεῖς ἴστε συγκοπιάσαντα, ἐπὶ τῇ τῆς Μονῆς καταστάσει, καὶ πάντων τῶν ὑπ' αὐτῇ. ἀλλ' οὗτος μὲν τὴν τῆς Ἡγουμενίας σφραγῖδα παρὰ τοῦ κατὰ τὴν ἡμέραν ἁγιωτάτου Ἐπισκόπου Ταμασίας, καὶ πρωτοθρόνου δεξάμενος, διακυβερνήσει τὴν Μονὴν, καὶ διαναπαύσει τὸ ποίμνιον, ἐν τόπῳ χλόης καὶ ἀναψύξεως.

## ΡΜΑ΄.

Ὑμῖν δὲ πᾶσιν ἁπλῶς ὑποτίθημι Ἀδελφοί. μετὰ τὴν ἐμὴν τὴν ὧδε μετάστασιν, σπεύδειν τὰ τῶν ψυχῶν ὑμῶν αὐτῷ ἀνατιθέναι κινήματα πάντα, καὶ τοὺς λογισμοὺς τοὺς ψυχοβλαβεῖς ἐξομολογεῖσθαι. ἵν' ἐντεῦθεν αὐτίκα ἡ πρὸς αὐτὸν σχέσις τε ὑμῶν καὶ διάθεσις ὁποία εἴη χαρακτηρίζοιτο. λογισμοὺς δὲ, οὐ τοὺς προεξαγορευθέντας ὑμῖν φαμὲν, εἰ μήπου τὶς τοῦτο ἴσως ἑκὼν αἱρετήσοιτο. ἀλλὰ τοὺς ὁσημέραι καὶ ὥραι παρενοχλοῦντας ὑμῖν. οὐ γὰρ ἐστὶν οὐκ ἔστιν ἀνθρώπους ὄντας, μὴ καὶ λογίζεσθαί τι ποτὲ πονηρὸν, καὶ μὴ ἀναβολῇ τὸ καλὸν ἤ τε διδόντες, ὅπερ οὐ δεῖ. ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ σπουδῇ πρὸ τοῦτο τρέχεται, ὡς ἂν ἓν ἦτε πάντες, τὸ αὐτὸ φρονοῦντες, τὸ αὐτὸ λογιζόμενοι, ὑφ' ἑνὶ καὶ τῷ αὐτῷ ποιμένι, ποιμαινόμενοί τε. καθάπερ εἴτις χρυσῇ σειρᾷ, ἀλλήλοις συνδεόμενοι, ἀλλήλων τε περιέχεσθε, καὶ εἰς ἓν συναρμολογεῖσθε σῶμα, ὑπὸ μιᾷ κεφαλῇ κατὰ τὸν Θεῖον Ἀπόστολον, τῇ ἀρχιτεκτονίᾳ τοῦ Πνεύματος.

## ΡΜΒ΄.

Καὶ εἶπέ μοι τέκνα, πᾶσαν τιμὴν, πᾶσαν εὔνοιαν, πᾶσαν εὐλάβειαν, πᾶσαν ὑποταγὴν ἀδιάκριτον, πᾶσαν εὐπείθειαν τῷ Ἡγουμένῳ ὑμῶν ἀποσῴζοντες. καθάπερ τινὶ τῶν Πατέρων εἴρηται. φησὶ εἰ γὰρ, ὑπὲρ ἡμῶν οἱ ἡμῶν ἐπιμελούμενοι, Λόγον ἀποδοῦναι μέλλουσι,

,, λουσι, πῶς οὐχὶ κατὰ πάντα τούτοις ὑποταγησόμεθα. καὶ ὡς κεφαλῇ,
,, τὰ λοιπὰ μέρη τοῦ σώματος ὑπακούσωμέν τε καὶ ἐξυπηρετήσωμεν. καὶ ὁ Θεῖος καὶ μέγας Απόστολος Παῦλος, οὕτως ἐν τῇ πρὸς Ρωμαίους αὐτοῦ Επιστολῇ φάσκει. πείθεσθε τοῖς Ηγουμένοις ὑμῶν καὶ ὑπείκετε, αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Λόγον ἀποδώσοντες.

## ΡΜΓ′.

Αλλὰ καὶ πρὸς ἀλλήλους ἀγάπην, εἰρήνην, ὁμόνοιαν, φυλάττοντες εἴπετέ μοι, ἀλλήλων ὑπερκαιόμενοι ἐκ φιλοστόργου γνώμης, ἀλλήλους ἐπιστηρίζοντες, ὑποστηρίζοντες, νουθετοῦντες, παρακαλοῦντες, ἀνεχόμενοι, κατανοοῦντες ἀλλήλους, εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων. καὶ ἁπλῶς εἰπεῖν, εἴτι χρηστὸν, εἴτι Σωτήριον, εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος, ἀποδίδοντες κατορθοῦμεν εἰς δύναμιν. φησὶ γὰρ ὁ Κύριος ἡμῶν Ιησοῦς Χριστός. ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. καὶ ἀλλαχοῦ, ἐν τούτῳ γὰρ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἀλλήλοις. ὁρᾶτε τίνος ἐσόμεθα μαθηταὶ ταῦτα φυλάττοντες; ὁρᾶτε οἵας δόξης καὶ μακαριότητος, καὶ ἀγαλλιάσεως τυχεῖν μέλλομεν; τῷ φιλανθρώπῳ Δεσπότῃ μαθητευόμενοι; τοιγαροῦν πάσῃ σπουδῇ, πάσῃ δυνάμει, πάσῃ προθυμίᾳ τῶν ἐντολῶν αὐτοῦ περιεχόμεθα.

## ΡΜΕ′.

Καὶ σὺ δὲ ὦ Πάτερ Πνευματικὲ, τῆς Ιερᾶς ταύτης ποίμνης καὶ ὁδηγὲ, μέτριος ἔσο τοῖς Αδελφοῖς, ἐπιεικὴς, κηδεμονικὸς, καὶ τὸ ὅλον πατρικὴν αὐτοῖς ἀποσώζων τὴν εὔνοιαν. ναὶ παρακαλῶ πάντων κήδου, πάντων φρόντιζε, ἀνέχου πάντων, ἀντέχου, νουθετῶν, παραινῶν, διδάσκων, παρακαλῶν, νοσοῦντας ὑγιάζων, ἀσθενοῦντας ὑποστηρίζων, ὀλιγοψυχοῦντας παραμυθούμενος, ἁμαρτάνοντας ἐπιστρέφων, ἑβδομηκοντάκις ἑπτὰ συγχωρῶν κατὰ τὴν τοῦ Κυρίου φωνήν. συμφέρει γὰρ ὑμῖν αὐτὸν μιμουμένους τὸν Κύριον, ὡς συγκαταβατικοὺς κριθῆναι καί τι τῶν δεόντων παραλιμπάνοντας, ἢ, τὴν ἄκραν φυλάττοντας δικαιοσύνην, ὡς ἀσυμπαθεῖς καὶ μισαδέλφους κατακριθῆναι. καὶ ἵνα τ' ἄλλα παρῶ, φησὶν ὁ μέγας Βασίλειος. ,, καὶ αὐτὸς δὲ ὁ Καθηγούμενος, ὡς
,, Πατὴρ παίδων γνησίων ἐπιμελούμενος, ἐπισκέψεται τὴν καθ' ἑνὸς
,, ἑκάστου χρείαν, καὶ τὴν ἁρμόζουσαν κατὰ τὸ δυνατὸν εἰσάξει θεραπείαν
,, καὶ ἐπιμέλειαν, καὶ τὸ κατὰ ἀλήθειαν ἀσθενοῦν μέλος, εἴτε ψυ-

„ χικῶς, εἴτε σωματικῶς, μετὰ ἀγάπης τῆς πατρικῆς εὐνοίας δια-
„ βαστάσει.

## ΡΜϛʹ.

Οὕτως οὖν ἔχοντα τὸν Καθηγούμενον, ὑμῶν Ἀδελφοί, καὶ πατρικῶς περὶ ἡμᾶς διακείμενον, καὶ Φιλοθέως, καὶ εὐσεβῶς ποιμαίνοντα τὸ τοῦ Χριστοῦ, ποίμνιον ὑμᾶς, οὐκ ἀντείπητε αὐτῷ, ἢ παρακούσητε, ἢ χωρὶς τῆς αὐτοῦ γνώμης ποιήσητέ τι. ὁ γὰρ τοῦτο ποιῶν, ἔνοχος ἔστω τῇ Ἁγνῇ Θεομήτορι. καὶ ὑφέξει Λόγον πρὸς αὐτὴν, εἰ μὴ μετανοήσει.

## ΡΜΖʹ.

Ἀλλ' οὐδὲ αὐτὸς ὁ Καθηγούμενος, τοῖς συγγενέσι, καὶ φίλοις αὐτοῦ χαριζόμενος, τὰ τῆς Μονῆς ἀναλώσειεν. ἔσεται γὰρ οὕτω ποιῶν, τῶν Θείων Μυστηρίων ἀμέτοχος ἐν Ἁγίῳ Πνεύματι. διὸ καὶ προσεκτέον αὐτῷ μὴ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, κἂν γὰρ ἡμεῖς οὐχ ἱκανούμεθα ὡς ἰσόρροποι αὐτῷ, ἐπιτιθέναι τὸ ἐπιτίμιον, τῆς ἀνελόγου καὶ μὴ δεούσης ἐξόδου καὶ καινοτομίας τῶν τῆς Μονῆς πραγμάτων τε καὶ χρημάτων, ἀλλὰ τὴν τοῦ Θεοῦ φρικτὴν οὐκ ἐκφεύξεται κρίσιν, ἣν ἐπιψηφιζόμενοι, τούτῳ ταῦτα γράφομεν.

## ΡΜΗʹ.

Εἰ δὲ τοσοῦτον ἀπηνὴς ὀφθείη καὶ ἀναιδέστατος, ὡς μηδὲ τὸ τοῦ Θεοῦ δεδιέναι κρίμα, ἀλλ' ἀπρεπῶς πάντα τῇ Μονῇ ἀναλίσει, τότε λοιπὸν ὑπὸ τῶν προκρειττόνων τῆς Ἀδελφότητος, ἀνακρινέσθω, καὶ εἰ μὲν διορθωθῇ, ἔστω συμπαθημένος, εἰ δὲ πάλιν τοῖς αὐτοῖς ἐπιμένει, ἀναφερέσθω τῷ ἐφόρῳ, καὶ δικαίως τὸ δίκαιον ποιήσει, καὶ τὸ ἄδικον διορθώσει. πρὸς γὰρ σύστασιν τῆς Μονῆς, καὶ ὑποτύπωσιν τῶν Ἀδελφῶν, καὶ ὀφθαλμὸν αὐτὸν εἶναι πᾶσι καὶ ὑπόδειγμα, οὐχὶ δὲ ὕπουλον καὶ ἱερόσυλον. ὅπερ μὴ γένοιτο Χριστὲ Βασιλεῦ τοιοῦτον ποτὲ παραχωρῆσαι, τοῦ ποιμᾶναι τὸ σὸν ποίμνιον, ἀλλὰ μᾶλλον ἐκπληρωτὴν τῶν σῶν Θείων ἐντολῶν, καὶ ἀκριβῆ φύλακα τῆς Τυπικῆς διατάξεως, καθὼς ἄνωθεν παρέλαβεν, ἡ κρατοῦσα συνήθεια, τοῦ στοιχεῖν καὶ αὐτοὺς τῆς πατρικῆς ὑποτυπώσεως ἵνα ὅπως πάντες ἓν ἐσμεν ἐν Κυρίῳ.

## ΡΜΘ΄.

Ἀφ᾽ ἑτέρου μέντοι Μοναστηρίου τῆς νήσου, καθ᾽ ἡντιναοῦν αἰτίαν, Ἡγούμενος οὐ προχειρισθήσεται, ἀλλὰ τὸν, καὶ θρέμμα, καὶ παίδευμα καὶ κουρὰν ταύτης τυγχάνοντα, καὶ τοὺς τύπους αὐτῆς εἰδότα, καὶ τὰ ἤθη τῶν Ἀδελφῶν ἀκριβέστατα. πάντας γὰρ τοὺς ἀποκειρομένους τῇ καθ᾽ ἡμᾶς Ἁγίᾳ Μονῇ, εἴτε Ἀποστολικοὺς, εἴτε μεγαλοσχήμους, ἀξίους ὄντας τῆς Ἡγουμενίας, βουλόμεθα προχειρίζεσθαι. μόνους γὰρ ἐκείνους τῆς προστασίας ἀπείργομεν, τοὺς μήτε ἀρχὴν, ἢ μετάνοιαν ποιήσαντας τῆς Ἀδελφότητος, ἢ καὶ πολλοῖς ἔτεσι διατετρίψαντας εἴσω τῇ Μονῇ. εἰδ᾽ ἴσως οὐκ εὑρεθήσεται ἄξιος τῆς Ἡγουμενίας, ὁ ἔχων προχείρησιν καὶ ἀξίαν Ἱερέως ὅπερ ἀπεύχομαι, τότε Ἡγουμενεύσωσιν οἱ ἄνωθεν δηλωθέντες. οὐδὲ γὰρ βούλομαι, Ἱερέα μὲν ὄντα, οὐκ ἄξιον δὲ τῆς ποιμαντικῆς προστασίας καὶ ἀνωφελῆ πρὸς τὸ ποιμᾶναι ψυχάς. ἀλλ᾽ οὐδὲ γὰρ ἐπιπιδήσει τὶς προπετῶς καὶ οἰκειογνώμως χρόνους τυχὸν προβαλλόμενος, ἢ γνῶσιν, ἢ ἐνέργειαν, ἢ εὐγένειαν, ἢ ἀξίωμα, ἢ προσαγωγὴν χρημάτων, ἢ κτημάτων, ἀλλ᾽ ἐκεῖνος ἔσται προτιμητέος, ὃν ὁ Καθηγούμενος ἴδει ἔχοντα τὰς πρακτικὰς ἀρετὰς, καὶ οἱ κατὰ Θεὸν Ἀδελφοὶ, αὐτὸς ἔχειν καὶ τὴν ἀξίαν τῆς προχειρήσεως.

## ΡΝ΄.

Ἐπειδὴ ἔγγιστα τῆς Μονῆς, πρὸς ἀνίσχοντα ἥλιον οἶκον ἱερὸν ἀνεγηγέραμεν, εἰς ὄνομα τιμώμενον τοῦ Βαπτιστοῦ Ἰωάννου, μετὰ τῶν ἐκεῖσε κελλίων, ὀλιγοστῶν δένδρων, σὺν τῷ βραχεῖ ὕδατι, ὅπερ ὁ πολὺς ἔρως τῆς ἔνδον με καταφλεγούσης ἡσυχίας, οὐκ ἔαμε, καὶ τῆς τῶν ἐμῶν συναδελφῶν ἡ ἄσχετος ἀγάπη, ἐπαπολαῦσαι τοῦ ἐφετοῦ. ἀλλὰ καὶ θείαν μυσταγωγίαν ἐκτελεῖσθαι τετύπωκα, ἀφ᾽ ἧ ἡμέρας, ἐγκαινίσθη καὶ καθιερώθη. καὶ τὰς δύο ἑορτὰς δὲ λαμπρῶς σὺν ὑμῖν ἑορτάζουσι, τὸ γενέσιον φημὶ, καὶ τὴν ἀποτομὴν, ἀλλὰ καὶ τὴν σύναξιν κατὰ τὸ σύνηθες. καὶ ταῦτα μὲν, τελεσθήσονται, εἰς τὸν αἰῶνα τὸν ἅπαντα.

## ΡΝΑ΄.

Ἐπεὶ δὲ καὶ Ἁγίας εἰκόνας, καὶ Ἱερὰς Βίβλους ἀφιέρωσα εἰς δόξαν Θεοῦ καὶ τοῦ Ἁγίου, ἃ κατ᾽ εἶδος ἐν ἰδιάζοντι ἐγγράφῳ προσγραφήσονται, καὶ διορισθήσονται, ἀλλὰ καὶ τοῦ ἔχειν τῶν δηλωθέντων τὴν

ἐπιμέλειαν, ϗ ψάλλειν, ϗ ἡμῶν ὑπερεύχεσθαι, τύπῳ λαμβάνειν ἀνυστερήτως, ἃ ἐν τῷ ἐγγράφῳ τετύπωκα. ὅπερ ϗ αὐτὸ ἔχει τὴν ἐμὴν σημείωσιν οἰκειόχειρον.

## ΡΝΒʹ.

Ἕτερον δὲ κελλίον κτισθῆναι ἀπὸ τοῦ νῦν ἔγγιστα τῆς Μονῆς, πάρεξ τοῦ δηλωθέντος, ἀπείργομαι παντελῶς.

## ΡΝΓʹ.

Οἱ δέγε ἡσυχάζειν προαιρούμενοι, τῇ εἰδήσει τοῦ προεστῶτος, οἰκοδομήσουσι κέλλας, ἐν ἡσυχαστέροις τόποις ἔχοντες τοῦτον τὸν Κανόνα, μετὰ πολλῆς δηλονότι δοκιμῆς. κατὰ Κυριακὴν ὀψὲ, λαμβανέτωσαν τὸν ἐπισιτισμὸν, τῶν πέντε δηλονότι ἡμερῶν, ἄρτους ϗ ὀπώρας, ἢ ὄσπρια βραχέντα ἐν ὕδατι, καὶ πλοκὴν, εἰς ἀκηδίας ἀντίκτησιν. καὶ τῷ Σαββάτῳ τὴν κέλλαν καταλιμπάνοντες, εἰς τὴν Μονὴν εἰσιέτωσαν, ϗ τὰ παρατιθέντα ἐσθιέτωσαν ἐπίσης τῆς Ἀδελφότητος. τὸ ἐργόχειρον δὲ κομιζέσθωσαν τῷ Οἰκονόμῳ τῆς Μονῆς, ϗ τὸν ἐπισιτισμὸν λαμβανέτωσαν, ὡς ἐξ ἔθους, καὶ πρὸς τὴν κέλλαν διαδρομήτωσαν. οὗτος γὰρ ὁ βίος τοῦ ἀληθινοῦ ἡσυχαστοῦ, καθὼς ϗ ἐκ τῶν Πατέρων ἡμῶν παρελάβομεν. ἀλλοτρόπως γὰρ παντάπασιν ἡσυχαστὴν οὐ προσδέχομαι.

## ΡΝΔʹ.

Ἐν Ἁγίῳ Πνεύματι ἐντελλόμεθα, πάντας τοὺς μεθ' ἡμῶν, τοῦ φυλάξασθαι τοὺς ὅρους τούτους, ἀλλὰ μηδενὶ ἑτέρῳ πιπράσκειν σιτηρέσιον, κἂν κοσμικὸς τυγχάνῃ, κἂν Μοναχὸς, κἂν πολλὴν καὶ μεγάλην ὠφέλειαν ὑπισχνῦται τῇ Μονῇ, κἂν χρήματα πάμπολλα δίδωσιν εἰς προσένεξιν, κἂν ἐν τῇ Μονῇ ἐκοπίασε συχνά. εἶτα πρὸς ἑτέραν Μονὴν ἀπειὼν, ἀπ' αὐτῆς δὲ Μονῆς ἡμῶν λαμβάνειν ἐξαιτεῖ σιτηρέσιον, τοῦτο γὰρ ἀπαγορεύομεν, παντελῶς ϗ ἀφορίζομεν.

## ΡΝΕʹ.

Περὶ δὲ τῶν Κεκοιμημένων Πατέρων ϗ Ἀδελφῶν ἡμῶν, βραχέα διαληψόμεθα. δέον τοίνυν τὴν δεκάτην τρίτην τοῦ Δεκεμβρίου Μηνὸς ἑορτάζειν ἡμᾶς τὰς μνήμας τῶν Ἁγίων Πατέρων ἡμῶν, νεο-

φύτε, Ἰγνατίε, καὶ Προκοπίε τῶν Μοναχῶν, καὶ ὁσιωτάτων. ναὶ μὴν, ἀλλὰ καὶ ἑκάστῳ μηνὶ εἰς τὴν δεκάτην τρίτην τελεῖσθαι, τῶν αὐτῶν Ἁγίων Πατέρων ἡμῶν, παννυχὶς, καὶ Θεία φημὶ ἱερεργία. καὶ τοῖς Ἀδελφοῖς ἐν τῇ τραπέζῃ, οἶνον εὐλογίαν τὸ συνήθως διδόμενον.

## ΡΝϚʹ.

Ἀλλὰ καὶ ὅσοι τὶ, μνήμης ἄξιον τῇ Μονῇ περιεποιήσαντο, ἐτησίως τὰ μνημόσυνα τέτων γίνεσθαι.

## ΡΝΖʹ.

Ὁμοίως καὶ τῶν Ἀδελφῶν δὲ πάντων τῆς Μονῆς. ὧν τὰ ὀνόματα ἐν τοῖς διπτύχοις ἐνεγράφησάν τε καὶ γραφήσονται. ἀλλὰ καὶ τε νεωςὶ τελευτήσαντος Ἀδελφε, καθ᾽ ἑκάστην ἀνὰ πᾶσαν σύναξιν, ὄρθρουτε φημὶ, καὶ Λειτεργίας, καὶ ἑσπερινε, ἐν ταῖς ἐκτενέσι δεήσεσιν, ἄχει τῶν Τεσσαρακοςῶν αὐτε, μία προσφορὰ ὑπὲρ αὐτε, προσκομισθήσεται διορίζομαι. πρὸς τέτοις δὲ, καὶ τὰ ὀνόματα ἑκάςε τῶν θνησκόντων σημειωτέον τὸν ἐκκλησιάρχην ἐν τῷ εἰρημένῳ Μηνολογίῳ. ἐντελλόμεθα δὲ, καὶ τοῖς τῆς Μονῆς Ἱερεῦσι κατὰ πᾶσαν Θείαν Ἱερεργίαν ἐπιςῆναι τὰ δίπτυχα, ἵνα μὴ καὶ αὐτοὶ τὸ κρίμα βαςάσωσι, τῆς ἐκείνων ἀμνηςίας, καὶ ὑςερήσεως.

## ΡΝΗʹ.

Ἃ Μὲν οὖν τὴν σύςασιν τῆς παρέσης ἡμῶν διατάξεως, ἀναγκαίαν ἡμῶν ἐξειργάσατο, τὰ προαναπεφωνημένα παρέςησεν ἀριδήλως. τύπος γὰρ καὶ κατάςασις, ἀληθὴς, ἀληθῆ κοινόβιον, καὶ εἴη ἡ Τριὰς, ἄχει τῆς τε παρόντος αἰῶνος συντελείας, ἀπαρεγχείρητα πάντα τὰ διατυπωθέντα φυλάττεσα. ἵν᾽ ἔτω καὶ φῶ, Εὐαγγελικῶς, τὸ τοῦ Χριςε ὀνομάζεται ποίμνιον, καὶ πρὸς οἰκοδομὴν μᾶλλον, δι᾽ αὐτε ἐνεχθεῖεν καὶ ἕτεροι. καὶ εἴη ποίμνιον τε Χριςε ἀληθῶς, ἐκλεκτὸν, καὶ πολλὰς ἀνθρώπων ψυχὰς τοῖς παρ᾽ ἑαυτε ὑποδείγμασι, καταρτίζειν δυνάμενον. ὥσπερ εἰς ἀρχέτυπον θαυμαςὸν, τὴν ἀκριβῆ τέτε πολιτείαν βλέποντας.

## ΡΝΘ΄.

Ἐπεὶ δὲ τῷ κοινῷ νομίμῳ, ἀκόλουθον ἦν, καὶ ἐπισκόπους τῆς παρούσης ἡμῶν διαπάξεως ἀποφέρεσθαι. ἤδη καὶ τούτους ἐνίστημι, τὰ δύο ταῦτα μέγιστά τε, καὶ ψυχωφελέστατα. Θεὸν πρῶτον, καὶ τὴν ἄχραντον αὐτοῦ μητέρα, ἐξ οὗ, καὶ δι' οὗ, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγεν.

## ΡΞ΄.

Ἐνίστημι δὲ ἐπίσκοπον, τὸν ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ ἀληθῶς βασιλεύοντα, μέγιστον ἡμῶν Βασιλέα καὶ αὐτοκράτορα. σὺν αὐτῷ δὲ, καὶ τοὺς μετ' αὐτὸν ἐκ Θεοῦ δικαιωθησομένους, τὰ Ῥωμαϊκὰ σκῆπτρα. ὅπως τῶν ἐμῶν ἀντιλαμβανόντων, Πατέρων καὶ Ἀδελφῶν. καὶ περιέπουσι τὴν μονὴν, διὰ ψυχικὸν αὐτῶν ἔλεος καὶ μισθόν.

## ΡΞΑ΄.

Ἀλλὰ καὶ τοὺς κατὰ τὴν ἡμέραν, ταῖς τῆς νήσου ταύτης ἀρχαῖς διαλάμποντας, ἐνορκῶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ εἰς τὴν ἄχραντον αὐτοῦ μητέρα, ἵνα εἴπερ οἱ Μοναχοὶ προσέλθοιεν τούτοις, καὶ τὴν παροῦσαν Τυπικὴν διάταξιν, ἐμφανίζειεν, καὶ λέγειν ἀδικεῖσθαι παρά τινων, ἐπεξέρχονται τῷ ἀδικοῦντι καὶ ἀναστέλλουσι, τὴν τούτων ὁρμήν. καὶ ἐκ χειρὸς στερεωτέρου, τὸ τοῦ Χριστοῦ ῥύονται ποίμνιον. καὶ μὴ παραβλέπονται τοῦτο, ἀλλ' ἀντέχονται καὶ ὑπερασπίζουσιν αὐτοῦ, κατὰ τὸν ἔννομον Λόγον καὶ δίκαιον. ἵν' οὕπω μισθὸν ἑαυτοῖς προξενήσωσι, καὶ τὴν Θείαν διαμονὴν ἕξουσιν, ἀνθ' ὧν διὰ τοὺς Μοναχοὺς, τῆς ὑπεραγίας Θεοτόκου, τοῦ ὄρους τοῦ Μαχαιρᾶ ὑπεδέξαντο. καὶ χειραγωγίας τῆς προσκυνήσεως ἠξίωσαν. τούτου γε ἕνεκα, καὶ μνημονεύεσθαι, τούτους τετύπωτε.

## ΡΞΒ΄.

Ὁ δέ γε πρὸς ἀθέτησιν, τῆς παρούσης Τυπικῆς ἡμῶν διαπάξεως, χωρῆσαι πειραθησόμενος, πρὸς τὸ μὴ εἰσακούεσθαι, ἀλλότριος ἔσω τῆς τῶν Χριστιανῶν ἐλπίδος, τοῦ ἀχράντου φημὶ σώματος καὶ αἵματος, ἀνθ' ὧν, τὴν ἀπράγμονα ταύτην, καὶ καλοθελῆ διάπαξιν, καὶ εἰς ὠφέλειαν τῶν ἐμῶν Πατέρων Ἀδελφῶν καθεστηκυῖαν, καταστρέψαι, καὶ διασεῖσαι βεβούλευται.

Ὅσα

## ΡΞΓʹ.

Ὅσα μὲν οὖν καὶ ἡμῖν βουλητὰ, καὶ τῷ Θεῷ εὐαπόδεκτα, καὶ τῇ θερμῇ ἀντιλήπτορι, καὶ προστάτιδι, τῇ ἁγνῇ θεομήτορι, εἰς τὴν ὠφέλειαν, οὐκ ὀλίγα συντείνοντα, εἴρηται ἱκανῶς. ὑμῖν δὲ, τὸ ἑξῆς μελήσει, φυλάξαι ταῦτα ἀπαράθραυστα καὶ ἀπαραποίητα, ἄχρι παντός. λέγω δὴ, τὸ ἀπαραλείπτως τὴν παραδοθεῖσαν ὑμῖν διακονίαν ἐκτελεῖν ἐν πάσαις ταῖς συνάξεσι, τὸ φυλάττειν πίστιν, καὶ τιμὴν πρὸς τοὺς προεστῶτας ὑμῶν, τὸ ἀγαπᾶν ἀλλήλους, καὶ σπουδάζειν ἕκαστον, ἑκάστου προέχειν, ἐν μετριοφροσύνῃ, συμπονεῖντε ἀλλήλοις ἐν πᾶσιν, ὡς ἑνὸς σώματος, καὶ τὰ ἀλλήλων ἀναπληροῦν ὑστερήματα, καὶ μὴ πρὸς ἑτέρους ὁρᾶν, μὴ πρὸς φιλίας ἀπρεπεῖς, ἢ παρασυνάξεις, καὶ σχίσματα. ἀπέχεσθαι πρωτοκαθεδρείας, καὶ τῶν κοσμικῶν προτιμήσεων. πρὸς ἓν δὲ μόνον ὁρᾶν, τῷ ἐν ἀρετῇ ζῆν δηλονότι, καὶ πολιτεύεσθαι καὶ μηδὲν ἄλλον, εἰ δυνατὸν ἀναπνεῖν, ἢ λόγον Σωτήριον, καὶ πᾶν τὸ εἰς οἰκοδομὴν ψυχῆς τυγχάνον καὶ ὠφέλειαν. μηδαμῶς οὖν τέκνα καὶ Ἀδελφοὶ, τὰ βλάπτοντα προτιμήσωμεν, τὰ σώζοντα παραδράμωμεν. οὐ γὰρ ἀνέσεως ἕνεκα καὶ τρυφῆς τὸν Κόσμον κατελείπομεν, ἀλλὰ σπουδῆς καὶ ἀγῶνος τὸ κατὰ δύναμιν, πρὸς τὸ τυχεῖν τῆς Βασιλείας τῶν Οὐρανῶν. οἱ γὰρ βιασταὶ ἁρπάζουσιν αὐτήν.

## ΡΞΔʹ.

Πρὸς σέ μου πάλιν ὁ Λόγος, Πάτερ Πνευματικὲ καὶ Ἀδελφέ. τὸ πρῶτον, στοιχεῖν σε τοῖς γεγραμμένοις. καὶ ἀπαρεμποδίστως φυλάττειν, τὰ δικαίως καὶ ἐννόμως κανονισθέντα. καὶ τὸν ἀριθμὸν τὸν τυπωθέντα μὴ προσθετέον. ἕως οὗ ὁ Κύριος καλέσει ἀφ' ἡμῶν τῶν Ἀδελφῶν, εἰς ἐκείνην τὴν μακαρίαν ζωήν. καὶ οὕτως προσθετέον κατὰ τὸν κλῆρον τοῦ ἀπελθόντος, ἢ Ἐκκλησιαστικὸν, ἢ ἄλλον.

## ΡΞΕʹ.

Ἐκκλησιαστικοὺς τετύπωκα φημὶ, ἀλλ' οὖν ἐξ αὐτῶν ἐπιστήσης εἰς τὰς τῶν πρώτων διακονιῶν χρήσεις, εἴπερ εἰσὶ πρὸς τὴν τοιαύτην διακονίαν χρήσιμοι. μήπως ἐξ ἀμελείας, ἢ τινὸς ἑτέρας παροράσεως, ἐάν τι, τῆς Μονῆς παραπώληται. καὶ τῆς ἴσης ἐνοχῆς εἴη τῆς Ἱεροσυλίας πᾶς τις, ὁ μὴ στοιχεῖν τούτῳ τῷ ὅρῳ καὶ Κανόνι, τῷ πρὸς Σωτη-

ρίαν ὁδηγοῦντι ἐκδιωκτέος, μήπως, ἡ μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἀλλὰ καὶ τοὺς μετὰ σὲ τὴν προστασίαν διαδεδεγμένους ταῦτα ἐντέλλομαι.

## ΡΞϚʹ.

Τοίνυν παρακαλῶ πάντας ὑμᾶς, ἐγὼ ὁ Ἁμαρτωλὸς Νεῖλος, ἀξίως πορεύθητε τῆς κλήσεως ὑμῶν, παραστήσατε τὰ σώματα ὑμῶν, Ἅγια τῷ Κυρίῳ. ἀγαπᾶτε ἀλλήλους, καλῶς τρέχετε τὸν προκείμενον ὑμῖν ἀγῶνα. ὅσα καλά, ὅσα θεοφιλῆ, ταῦτα λογίζεσθε, ἃ ἠκούσατε καὶ ἐμάθετε παρ' ἐμοῦ τοῦ ἀναξίου, ταῦτα ποιεῖν, μὴ ἀπόσχοισθε Ἀδελφοί μου καὶ τέκνα ἠγαπημένα μνημονεύετε τῶν ψυχῶν ὑμῶν, καὶ τῆς ἐμοῦ εὐτελείας, μὴ ἐπιλανθάνεσθε, ἐν ταῖς προσευχαῖς ἡμῶν. μὴ λήθη καλύψει τὴν ἐμοῦ μνήμην, οὓς ἐν Πνεύματι ὤδινα. ἐν ᾧ γὰρ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

## ΡΞΖʹ.

Τὸ γοῦν παρὸν Τυπικόν, ἐντέλλομαι ὑμῖν, ἀναγινώσκειν τρεῖς τοῦ ἐνιαυτοῦ, κατὰ τοὺς καιροὺς τῆς ἑστιάσεως ὑμῶν. εἴς τε ἀνάμνησιν τῶν ἐντεταλμένων ὑμῖν, καὶ ὠφέλειαν τῶν ψυχῶν ὑμῶν. οὕτω γὰρ ἔσεσθε ὑμεῖς μὲν ἐπὶ τῇ Σωτηρίᾳ ἡμῶν, πεπληροφορημένοι. ὡς καλῶς φυλάξαντες ἃ παρελάβετε παρὰ τῶν Πατέρων ὑμῶν, καὶ ἐμοὶ δὲ τὰ τροφεῖα τῆς Πνευματικῆς ἀγωγῆς ταύτης καὶ παιδεύσεως, ἐν Κυρίῳ ἀποτινοῦντες.

## ΡΞΗʹ.

Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν, διὰ τὴν πολλὴν αὐτοῦ, καὶ ἄφατον ἀγαθότητα, καταρτίσαι ὑμᾶς, καὶ στηρίξαι, εἰς τὸ Ἅγιον αὐτοῦ θέλημα. διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ Κυρίου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ Παναγίου καὶ ζωοποιοῦ Πνεύματος. ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

## ΡΞΘ΄.

Ἐπεὶ δὲ Θεοῦ εὐδοκίᾳ, καὶ τῆς ἀσπόρως αὐτὸν τεκούσης μητρὸς, τῆς ἐφ᾽ ἅπασι συνεργούσης ὑμῖν, εἰς τὰ κρείττονα καὶ Σωτήρια. ἀνεγείραμεν ἐξ αὐτῶν τῶν κρηπίδων, Ἱερὸν φροντιστήριον γυναικεῖον ἐν Ταμασίᾳ, καὶ ἀπαρτίσθη ἐφ᾽ ἅπασιν, σύν τε Ἁγίαις καὶ προσκυνηταῖς εἰκόσι, καὶ Ἱεροῖς καὶ ψυχωφελέσι Βίβλοις, καὶ ἑτέροις Θείοις ἀναθήμασιν. Κανόνα τε ἡκριβωμένον Μοναχοῖς πρὸς ἄσκησιν ἐγγράφως ἐκθέμεθα, καὶ τὸν τιμιώτατον Καθηγούμενον τὸν μετ᾽ ἐμὲ, ἐνεστησάμην ἐπίτροπον, σὺν τῷ εὐλαβεστάτῳ Ἱερομονάχῳ, Κυρίῳ Νεοφύτῳ, ἐπιτηρεῖν καὶ διευθύνειν, καὶ συνευδοκεῖν ἐφ᾽ ἅπασι, τὸ τοῦ Θεοῦ ποίμνιον, καθὼς ἐγγράφως ἐδιορισάμην.

## ΡΟ΄.

Τύπῳ δὲ ἐτησίως, λαμβάνειν τὴν τοιαύτην Ἁγίαν Μονὴν, καὶ τὰς ἐν αὐτῇ ἀσκουμένας ἀδελφὰς, ἀπὸ τῶν ἐλευθέρων ἡμῶν εἰσόδων, τῶν ὅλων δηλονότι τοῦ ἑκατοστοῦ τὸ ὄγδοον. τὰ δὲ ἕτερα δύο εἰσὶ, χάριν τῶν τὴν Ἱερὰν νόσον ἀθλούντων, καὶ τῶν λοιπῶν πενήτων.

Ἐξ αὐτοῦ δὲ τοῦ ὀγδόου, ὀφείλουσι λαμβάνειν ἐτησίως οἱ Ἱερεῖς τῆς Βλαχερνίτισσας, νομίσματα εἴκοσι καὶ τέσσερα. ἔχειν δὲ καὶ αὐτοὶ ἐπιφώνησιν ἀπὸ τοῦ προεστῶτος. καὶ τὰ μὲν ζῶα τὰ ἀρρενικὰ, ὀφείλουσιν ἀποδεκατοῦσθαι, τὰ δὲ θηλυκὰ οὔ. διὰ τὸ ἔρειον καὶ τὸν τυρόν. καὶ ταύτην μὲν τὴν μικρὰν εὐλογίαν, ὀφείλει ὁ κατὰ τὴν ἡμέραν προεστὼς, ἀπροφασίστως, ἀγογγύστως ἐπιδαψιλεύειν, καθὼς ἐδιορισάμην, μηδοπωσοῦν προβαλλόμενος ἔνδειαν. ἱκανοὺς γὰρ προσόδους καὶ ἐπικτήσεις, ἀφιερώσαμεν τῇ Μονῇ, πρὸς τὰς ἀναλογούσας Ἐξόδους, καὶ τροφὴν τῶν πάντων.

Καὶ οὕτω μὲν ποιοῦντες, ἔσεσθε ἐπ᾽ ἐλπίδι, θαῤῥοῦντες ὅτι τῷ Χριστῷ ταῦτα δανείζετε. ὑφ᾽ οὗ καὶ τὴν ἀνταμοιβὴν ἕξετε ἑκατονταπλασίονα. εἰ δέ τις πειραθῇ, καθ᾽ οἷον δὴ τρόπον, ἀ-

φαιρεῖν ἐκ τοῦ ἀναθήματος, ἕξει τὸ Θεῖον ἀντιμαχόμενον ὡς Ἱερόσυλος, καὶ τῶν Θείων ἔσαι Μυστηρίων ἀμέτοχος.

Ἐν ἔτη. ͵ϛψιή. ἐν Αὐγούςῳ.

## Ὁ Ταπεινὸς Νεῖλος καὶ κτήτωρ τῆς Μονῆς Μαχαιράδος.

## ἘΠΙΣΚΟΠΟΣ ΤΑΜΑΣΕΏΝ

Προτάξας ὑπέταξα.

# Κ Α Ν Ω' Ν
# ΠΑΡΑΚΛΗΤΗΚΟ'Σ
## ΕΙ'Σ ΤΗ'Ν ΥΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ,

Ψαλλόμενος ἐν τῇ κατὰ Κύπρον Μονῇ τῆς Μαχαιράδος.
οὗ ὁ ποιητὴς, κεῖται ἐν τῇ ἀκροστιχίδι.

Ἐφραὶμ προσάγει Παρθένε σοι τὸν ὕμνον.

Ὠδὴ ά. ἦχος, πλ. δ'. Ὑγρὰν διοδεύσας ὡσεί.

Ἐμπαθὴς ὑπάρχων ὁ δυστυχὴς, πῶς σε ἀνυμνῆσαι, νῦν τολμήσαιμι τὴν ἁγνὴν, ἀλλ' ὡς μήτηρ οὖσα τοῦ Θεοῦ μου, ῥερυπωμένον με Δέσποινα κάθαρον.

Φεῖσαι Παρθένε κόρη σεμνὴ, καὶ τὸν Ἰησοῦν μου τὸν Σωτῆρα μου καὶ Θεὸν, ἵλεών μοι ποίησον λιταῖς σου, καὶ γὰρ ἰσχύεις ἁγνὴ ὅσα βούλεσαι.

Ῥῦσαι συνηθείας με πονηρᾶς, ῥῦσαι ἁμαρτίας, ῥῦσαι πάναγνε ἐξ ἐχθρὸν, κόσμου τε, σαρκὸς, καὶ διαβόλου καὶ λογισμῶν ῥυπαρῶν με καθάρισον.

Ἄνες μοι Παρθένε τὴν ὀφειλὴν, τῶν ἁμαρτημάτων τῇ πρεσβείᾳ σου τῇ θερμῇ, ἄφες μοι τὸ χρέος Θεοτόκε, τὸ πρὸς Χριστὸν τὸν Υἱόν σου παντάνασσα.

Ὠδὴ, γ'. Οὐρανίας ἀψῖδος.

Ἱκετεύω σε κόρη τὰ ψυχικὰ πάθη μου, καὶ σωματικὰ σῇ πρεσβείᾳ θείᾳ θεράπευσον, καὶ γὰρ πανάμωμε, Θεὸν Σωτῆρα τεκοῦσα, δύνασαι κυρίᾳ μου πάντα ὡς εὔσπλαγχνος.

Μάχαιρα Θεοτόκε κατὰ ἐχθρῶν φάνηθι, τῶν ἐπεμβαινόντων ὁρατῶν ἐπ' ἐμοὶ ἀοράτων τε, καὶ μηχανουργίας, ἐπιβουλὰς καὶ δόλους τούτων, σῇ ἀμάχῳ δυνάμει διάλυσον.

Προστασίαν Παρθένε διὰ τῆς εἰκόνος σου ἀπειροδύναμε, τῆς ἐν Μαχαιράδι τῇ Μονῇ σου παντάνασσα δώρησαι, πᾶσι τοῖς αἰτοῦσιν, ἔλεος χάριν θεραπείαν, νοσημάτων ψυχῆς καὶ τοῦ σώματος.

Ῥάδιον Παναγία, ἀπεδείχθη Δέσποινα τῇ δυναστείᾳ σου, Μονὴν ἀνεγεῖραι, Μαχαιρᾶ ἐν τῷ ὄρει θαυμάσιον, ἣν λιταῖς σαῖς τήρει, ἐν ἀρεταῖς ἀνθουμένην, καὶ ἐκ βλάβης παντοίας ἐλεύθερον.

Ὠδὴ, δ΄. Εἰσακήκοα Κύριε.

Οἱ ἐλπίδα σοὶ ἔχοντες, κόρη ἀπειρόγαμε μητροπάρθενε, ἐκλυτροῦνται τῇ σῇ χάριτι, πάσης ἐναντίας περιστάσεως.

Σὺ ὡς Μάχαιρα φάνηθι, φάλαγγας δαιμόνων κόρη συγκόπτουσα, καὶ ἀνθρώπους διασώζουσα, τοὺς ὁμολογοῦντας Θεοτόκον σε.

Ἄνες Πάναγνε πταίσματα τῶν προσκαλουμένων σε εἰς βοήθειαν, δεχομένη τὴν μετάνοιαν, καὶ πληροῦσα τούτων τὰ αἰτήματα.

Γένος ἅπαν ἀνθρώπινον, εὗρε Σωτηρίαν διὰ τοῦ τόκου σου ὅθεν πάντες ἀνυμνοῦμέν σε, ὡς Θεοῦ μητέρα ἀειπάρθενε.

Ὠδὴ, έ. Φώτισον ἡμᾶς.

Ἔμπλησον φωτὸς Θείου κόρη τὴν καρδίαν μου, τὸ φῶς τοῦ Κόσμου ἡ κυήσασα, Χριστὸν Δεσπότην καὶ Σωτῆρα ἡμῶν Κύριον.

Ἴασαι ἁγνὴ, τῆς ψυχῆς μου τὴν ἀμέλειαν, καὶ τὴν ἀσθένειαν τοῦ σώματος, τὸν ἰατρὸν νοσούντων, τὸν Χριστὸν ἡ τέξασα.

Πάριδε σεμνὴ, Χριστιανῶν σὺ ἅπαν ἔγκλημα, καὶ φόβον θεῖον νῦν ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Ἅγιον Θεὸν, ὡς Ἁγία σὺ γεννήσασα, καὶ Μήτηρ τούτου χρηματίσασα, αἴτησαι τοῦτον οἰκτειρῆσαι τοὺς αὐτῷ πιστεύοντας.

Ὠδὴ, ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Ῥυσθῆναι ἡμᾶς ἁγνὴ, τῆς αἰωνίου κολάσεως. δεήθητι ἐκτενῶς, τοῦ Υἱοῦ σου πάναγνε πρὸς σὲ γὰρ προσφεύγομεν, τὴν Θεοῦ Μητέρα, καὶ ἡμῶν πάντων Βασίλισσαν.

Θεάνθρωπον Ἰησοῦν, τῷ Κόσμῳ, ἀποκυήσασα, Θεόνυμφε Μαριὰμ, κρατεῖν πάντων δύνασαι, ὅθεν σοι προστρέχομεν καὶ σὲ δυσωποῦμεν, λυτρωθῆναι πάσης θλίψεως.

Ἐν ὄρει τοῦ Μαχαιρᾶ, θαυμάσια σὺ ἐτέλεσας, Παρθένε διὰ τῆς σῆς Ἁγίας εἰκόνος σου, πρὸς γὰρ τὸ πρωτότυπον, ἡ Σύνοδος ἔφη, τῶν εἰκόνων τιμὴ φέρεται.

Νεῦσον Ἁγία σεμνὴ, καὶ πλήρωσον τὰ αἰτήματα, τῶν μετὰ πόθου πιστῶς ἐπικαλουμένων σε, ἔχεις γὰρ τὸ δύνασθαι πάντα ὅσα θέλεις, Θεοῦ Μήτηρ χρηματίσασα.

Ὠδὴ, ζ'. Παῖδες Ἑβραίων.

ΕΡωτα φύτευσόν μοι Θεῖον, καὶ ἐκρίζωσαν ἔρωτα τῶν Ματαίων, Παναγία σεμνὴ, διὸ σὲ Ἱκετεύω, ὁ ῥυπαρὸς τὴν ἄχραντον, τὴν ἁγνὴν ὁ βορβορώδης.

Σκέπη γενοῦ μοι Θεοτόκε, καὶ ὡς Μάχαιρα σύγκοψον τὰς ἁλύσεις, συνηθείας κακῆς, ἀπάτης ἁμαρτίας, πρὸς σὲ καὶ γὰρ κατέφυγον, σῶσον Θείῳ σου ἐλέει.

Ὄρεξον χεῖρα βοηθείας, καὶ ἐξέγειρον ἐκ λάκκου ἁμαρτίας ὑποκρίσεως φεῦ, καὶ τῆς κενοδοξίας, πονηρᾶς ἀπογνώσεως καὶ τῆς ὑπερηφανίας.

Ἵλαθι ἵλαθι Χριστέ μου, ἐλεῆμον Θεὲ, πλάστα, δημιουργέ μου, ἄφες μοι τὰ δεινὰ ἐγκλήματα πρεσβείαις, τῆς σὲ τεκούσης Κύριε, ὡς φιλάνθρωπος Δεσπότης.

Ὠδὴ, η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

ΤΟν Βασιλέα ὡς τοῦ παντὸς τετοκυῖα, οἴκτειρόν με ἡ θερμή μου προστάτις, καὶ ἐλέησόν με, ὡς τοῦ ἐλέους Μήτηρ.

Ὁ ἐλεήμων οἴκτειρόν με Δεσπότης, τῇ πρεσβείᾳ τῆς ἀχράντου μητρός σου, καὶ συγχώρησόν μοι τὰ τῶν πταισμάτων πλήθη.

Νίκην δίδου μοι κατὰ τῶν ἀοράτων, ὁρατῶν τε ἐχθρῶν παρθενομῆτορ, ἵνα μεγαλύνω ἁγνή σε εἰς αἰῶνας.

Ὕμνον δέξαι σὺ ῥυπαρῶν ἐκ χειλέων, καὶ καρδίας ἁγνὴ μεμολυσμένης, καὶ καθάρισόν με δωρεᾷ Θεοτόκε.

Ὠδὴ, θ'. Κυρίως Θεοτόκον.

ΜΑρία Θεοτόκε, σῶσον σῇ πρεσβείᾳ, τοὺς σὲ Μητέρα Θεοῦ καταγγέλλοντας, καὶ ἀνυμνοῦντας ἐκ πόθου τὰ μεγαλεῖά σου.

Ναὸς Θεοῦ Κυρίως, κόρη ἀπεδείχθης, ὡς τὸν Χριστὸν τετοκυῖα Θεόνυμφε. διὸ ναῷ σου τοὺς ὄντας Θείῳ ἐλέησον.

Ὁ μόνος ἐλεήμων, οἴκτειρον πρεσβείαις, τῆς Θεοτόκου Χριστὲ τοὺς ὑμνοῦντάς σε, δύνασαι γὰρ ὅσα θέλεις ὡς παντοδύναμος.

Νοὸς δέξαι τὸν γόνον, τόνδε Θεοτόκε, καὶ ἄνες ἄφες μοι κόρη τὰ πταίσματα. ἰσχύεις γὰρ ἅπερ θέλεις Θεοῦ γεννήτρια.

Τέλος, καὶ τῷ Θεῷ Δόξα.

# ΠΙΝΑΞ

## Τυπικὴ, τῆς Μονῆς Μαχαιρᾶδος.


| | | |
|---|---|---|
| Περὶ τοῦ Προοιμίου τῆς διατάξεως. | Κεφ. ά. | Φύλλ. 9 |
| περὶ ἑαυτοῦ καὶ τοῦ κατὰ νοῦν θελήματος. | β΄. | 10 |
| Ἔτι ἀσαφὴς περὶ διατάξεως. | γ΄. | 10 |
| περὶ τοῦ ἄνωθεν Κανονικοῦ Τύπου. | δ΄. | 10 |
| περὶ τῶν μελλόντων γραφῆναι Κανόνων. | έ. | 11 |
| περὶ ὅπως γέγονεν ἡ ἀρχὴ τοῦ τόπου. | ς΄. | 11 |
| περὶ ἀρχῆς Κυρίου Νεοφύτου καὶ τοῦ Μοναχοῦ κυροῦ Ἰγνατίου. | ζ΄. | 11 |
| περὶ ἀρχῆς προκοπίου καὶ τοῦ σκοποῦ. | ή. | 11 |
| περὶ τῆς δωρεᾶς τοῦ εὐσεβοῦς Βασιλέως. | θ΄. | 12 |
| περὶ τῆς οἰκοδομῆς τοῦ εὐκτηρίου. | ί. | 12 |
| περὶ ἑαυτοῦ καὶ τῆς εἰς τὴν Μονὴν ἐλεύσεως. | ιά. | 12 |
| περὶ τῆς διατάξεως τοῦ γέροντος. | ιβ΄. | 13 |
| περὶ ἐμαυτοῦ καὶ τῆς ἀρχῆς. | ιγ΄. | 13 |
| περὶ τῆς κοιμήσεως τοῦ γέροντος. | ιδ΄. | 14 |
| περὶ τὴν τοῦ Θεοῦ ἄφατον εὐσπλαγχνίαν καὶ τὴν οἰκοδομήν. | ιέ. | 14 |
| περὶ τοῦ Σταυροπηγίου καὶ Μόνης τῆς ἀναφορᾶς. | ις΄. | 15 |
| περὶ τῆς ἐγγράφου τοῦ γέροντος ἐντολῆς. | ιζ΄. | 15 |
| περὶ τοῦ πανιερωτάτου Ἐπισκόπου, καὶ τῆς προχειρήσεως. | ιή. | 15 |
| περὶ τῶν πειραθησομένων ἅψασθαι τῶν ἀψαύστων. | ιθ΄. | 15 |
| περὶ τῶν στεργόντων ἔχειν τὸ μνημόσυνον. | κ΄. | 16 |
| Ἀραὶ φρικώδεις τῶν πειραθησομένων. | κά. | 16 |
| περὶ τοῦ Εὐσεβοῦς Βασιλέως, κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου. | κβ΄. | 16 |
| περὶ τοῦ Εὐσεβοῦς Βασιλέως κυροῦ Ἀλεξίου Ἀγγέλου, καὶ τῶν αὐτοῦ δωρεῶν. | κγ΄. | 16 |
| περὶ τοῦ Τρισαγίου τοῦ Βασιλέως. | κδ΄. | 17 |
| περὶ τῶν Φιλοχρίστων καὶ τῶν ἀκινήτων πραγμάτων. | κέ. | 17 |
| περὶ τῆς φωταυγίας τῆς Ἐκκλησίας. | κς΄. | 17 |
| περὶ τῆς Ἑορτῆς τὰ Ἅγια τῶν Ἁγίων. | κζ΄. | 17 |
| περὶ τῶν λοιπῶν Ἑορτῶν. | κή. | 18 |
| περὶ τῆς Κοιμήσεως τῆς Ἁγίας Θεοτόκου. | κθ΄. | 18 |
| περὶ τύπου καὶ Κανόνος ἀκριβοῦς τῆς Ἐκκλησίας. | λ΄. | 18 |
| περὶ τῆς πρώτης ὥρας, | λά. | 19 |

Περὶ Δωδεκαημέρων, καὶ τῆς Πεντηκοστῆς. λδ΄. 20
περὶ τῆς τρίτης ὥρας. λέ. 20
περὶ τῆς Θείας Ἱερυργίας. λς΄. 20
περὶ τῆς Ἁγίας μεταλήψεως. λζ΄. 20
περὶ τῶν ἀκοινωνήτων. λή. 21
περὶ τῶν εὐχῶν τῆς Ἁγίας μεταλήψεως. λθ΄. 21
περὶ τῶν προσφόρων, καὶ τοῦ νάματος. μ΄. 22
περὶ ἐντολῆς, μετ᾽ ἐπιφωνήσεως. μά. 22
περὶ τοῦ ἑσπερινοῦ. μγ΄. 23
περὶ τῶν ἀποδείπνων καὶ τῆς συγχωρήσεως. μδ΄. 23
περὶ τῶν βαρέων τοῦ μεσονυκτικοῦ. μέ. 24
περὶ τοῦ μεσονυκτικοῦ, πῶς ὀφείλῃ ψάλλεσθαι. μς΄. 24
περὶ τοῦ Μεγάλου σημαντῆρος, καὶ εὐχῆς, ὑπὲρ τοῦ Βασιλέως. μζ΄. 24
περὶ τῆ ἐνάρξεως τοῦ ἑξαψάλμου. μή. 25
περὶ παραινέσεως πρὸς τοὺς Ἀδελφοὺς, διὰ τὴν Ἀκολουθίαν. μθ΄. 25
περὶ τῆς ψυχοσώστου ἐξαγορεύσεως. ν΄. 26
περὶ τοῦ σπεύδειν τοὺς Ἀδελφοὺς, εἰς τὴν ἐξομολόγησιν. νά. 26
ἐπιτίμιον τοῖς μὴ ἐξομολογουμένοις. νβ΄. 27
περὶ τοῖς πρώτοις, ἐξομολόγησις. νγ΄. 28
περὶ τοῦ πρώτου ἐξομολογεῖσθαι. νδ΄. 28
περὶ τῶν προσερχομένων ἀποκαρῆναι. νέ. 29
περὶ τοῦ μετασχηματισμοῦ τῶν ἀρχαρίων, καὶ τῶν αὐτῶν ἐνδυμάτων. νς΄. 29
περὶ τοῦ μὴ ζητεῖν προσενέξεις τοῖς ἀποτασσομένοις. νζ΄. 29
περὶ τῆς ἑκουσίου προσενέξεως. νή. 30
περὶ τῶν πραθησομένων ζητεῖν τὸ ἀνάθημα. νθ΄. 30
περὶ τῶν Μοναχῶν τῶν ἀπὸ ξένης Μονῆς προσερχομένων. ξ΄. 30
περὶ τῆς τραπέζης, καὶ βρώσεως. ξά. 31
περὶ τῶν ζητούντων πρωτοκαθεδρείας. ξδ΄. 32
περὶ τῶν ὀφειλόντων προκαθέζεσθαι. ξέ. 33
περὶ τοῦ δείπνου, καὶ τῆς στερήσεως τῆς εὐχῆς. ξς΄. 33
περὶ τῶν Σαββάτων. καὶ Κυριακῶν τῆς Ἁγίας, μ΄. καὶ τροφῆς. ξή. 34
περὶ τῆς Τετράδης τοῦ Μεγάλου Κανόνος. ξθ΄. 34
περὶ τοῦ Προδρόμου, καὶ τῶν Ἁγίων, μ΄. Μαρτύρ. ό. 34
περὶ τῶν Βαΐων, καὶ τοῦ Εὐαγγελισμοῦ. οά. 35
περὶ τοῦ Εὐαγγελισμοῦ, εἰ γένηται τῷ Μεγάλῃ Ἑβδομάδι. οβ΄. 35
περὶ τῆς Μεγάλης Κυριακῆς. ογ΄. 35
περὶ τῆς Διακαινησίμου Ἑβδομάδος. οδ΄. 36

Περὶ

Περὶ τῆς Ἑβδομάδος τῦ Ἁγίυ Θωμᾶ. οέ. 36
περὶ τῶν Νηστειῶν τῶν Ἁγίων Ἀποςόλων, καὶ τῶν Χριστοῦ γεννῶν. ος΄. 36
περὶ τῶν ξ̃ιῶν Νηστειῶν τῆς Ἑβδομάδος ἡμερῶν, κ̀ τῆς τύτων λύσεως. οζ΄. 37
περὶ τῦ ἀρτζιβυρίυ, κ̀ τῆς Τυρινῆς. οή. 37
περὶ τῦ πάντας εἰσέρχεσθαι εἰς τὴν ξ̃απεζαν. οθ΄. 37
περὶ τῦ Οἰκονόμυ καὶ τῆς ἐκλογῆς π΄. 38
περὶ τῆς προχηρήσεως τῦ Οἰκονόμυ. πά. 38
περὶ τῦ Προεςῶτος, καὶ τῦ Οἰκονόμυ. πβ΄. 38
περὶ τῦ θέρυς, καὶ τῶν ςαλέντων Ἀδελφῶν. πγ΄. 39
περὶ τῦ Οἰκονόμυ, μὴ ποιεῖν τὶ χωρὶς εἰδήσεως τῦ Προεςῶτος, πδ΄. 39
περὶ τῶν μετοχιαρίων. πέ. 39
περὶ τῦ Οἰκονόμυ, τῦ ὄντος ἐν τῇ Μονῇ. πς΄. 40
περὶ τῶν ἐχόντων τινὰς ἐπικτήσεις ἐν τῇ Μονῇ. πζ΄. 40
περὶ τῶν δύο Οἰκονόμων, καὶ εἰ μεταπεθῦν τῆς προθέσεως. πή. 41
περὶ τῶν Οἰκονόμων καὶ τῆς αὐτῶν σπυδῆς. πθ΄. 41
περὶ τῶν ὑπύλως Οἰκονομέντων. ῳ΄. 41
περὶ τῶν προχειρήσεων τῶν διακονητῶν. ῳά. 42
περὶ τῶν μὴ ἐχόντων κλεῖδας διακονιῶν. ῳβ΄. 42
περὶ τῆς προχειρήσεως τῦ Ἐκκλησιάρχυ. ῳγ΄. 43
περὶ τῶν Ἱερῶν ἀναθημάτων, καὶ τῶν Θείων σκευῶν. ῳδ΄. 43
περὶ τῦ Καθηγυμένυ, ἀναθεωρεῖν τὰ τῆς Ἐκκλησίας τὸν καιρὸν τῆς Ἀκολυθίας. ῳέ. 43
περὶ τῦ μὴ χωρὶς εἰδήσεως τῦ προεςῶτος, ὁ κελλάρης ποιεῖν τί. ῳή. 44
περὶ τῦ δολίως τὸν κελλάριν καὶ ὑπύλως ἐνεργῦντος. ῳθ΄. 44
περὶ τῦ δοχειαρίυ, καὶ τῶν ἐν τῷ δοχείῳ. ρ΄. 45
περὶ τῦ ποιεῖν λογαριασμὸν μετὰ παρέλευσιν δύο μηνῶν. ρά. 45
περὶ τῶν ἱματίων, κ̀ πάσης δοσοληψίας τῶν Μοναχῶν. ρβ΄. 46
περὶ τῦ διδόναι τὰ Παλαιὰ, κ̀ καινὰ λαμβάνειν, ργ΄. 46
περὶ τῦ ἄλλυ δοχειαρίυ. ρδ΄. 46
περὶ τῦ ὀριαρείυ, κ̀ τῦ ἀποθηκάτορος, κ̀ τῶν ςρατοκόπων. ρέ. 47
περὶ τῆς ξ̃οφῆς τῆς μιᾶς ὕσης. ρς΄. 47
περὶ ἀῤῥώςων, κ̀ τῆς αὐτῶν διαίτης. ρζ΄ 47
περὶ τῦ μὴ γογγύζειν τὺς ἀσθενεῖς, διὰ ὑπέρογκον βρῶμα. ρή. 47
περὶ τῶν ὀφειλόντων εἶναι μετοχειάριοι. ρθ΄. 48
περὶ τῦ μὴ ποιεῖν κοσμικὸν μετοχίτην. ρί. 48
περὶ τῶν προαςείων τῶν ἐχόντων ψυχῆς βλάβην. ριά. 48

Περὶ

Περὶ τοῦ ἀρτοκόπου, καὶ τῶν Ἀδελφῶν. ριβʹ. 49
περὶ τοῦ σκυτοτόμου, τοῦ τέκτονος, καὶ τῶν λοιπῶν ἐργοχειριαρίων. ριγʹ. 49
περὶ τοῦ ἐπιστημονάρχου. ριδʹ. 49
περὶ τοῦ εἶναι ἄβατον τὴν Μονὴν παντάπασι γυναιξί. ριεʹ. 50
περὶ τῆς πύλης, καὶ τοῦ θυρωροῦ. ριϛʹ. 50
περὶ τῶν παραβαλλόντων ἀρχόντων. ριζʹ. 51
περὶ τῶν παραβαλλόντων πτωχῶν. ριηʹ. 51
περὶ τοῦ μὴ διδόναι εὐλογίαν, ταῖς παραβαλλούσαις γυναιξί. ριθʹ. 51
Πρὸς τὸν προεστῶτα, ἐπιφώνησις. ρκʹ. 51
Κανόνες τοῦ Μεγάλου Βασιλείου. ρκαʹ. ρκβʹ. ρκγʹ. ρκδʹ. ρκεʹ. ρκϛʹ. 52
ρκζʹ. ρκηʹ. ρκθʹ. ρλʹ. ρλαʹ. ρλβʹ 53
Οὗτοι οἱ Κανόνες εἰσὶ τοῦ Μεγάλου Βασιλείου. ρλγʹ. ρλδʹ. 54
περὶ πάντων τῶν διακονητῶν. ρλεʹ. 54
περὶ τῶν παραβαλλόντων συγγενῶν τῶν Ἀδελφῶν. ρλϛʹ. 54
περὶ τῶν Κανόνων τοῦ Ἁγίου Βασιλείου. ρλζʹ. 54
περὶ τῶν ἄνωθεν Κανόνων καὶ Τύπων. ρληʹ 55
περὶ δι᾽ ἣν αἰτίαν ταῦτα ἐγράφησαν. ρλθʹ. 55
περὶ τοῦ δεχομένου τὴν προστασίαν. ρμ. 56
περὶ τῶν Ἀδελφῶν, τοῦ ἐξομολογεῖσθαι εἰς τὸν Ἡγούμενον. ρμαʹ. 56
περὶ τοῦ ἔχειν οἱ Ἀδελφοὶ πᾶσαν διάθεσιν, καὶ τιμὴν εἰς τὸν προεστῶτα. ρμβʹ. 56
περὶ τοῦ ἔχειν ἀγάπην ἀλλήλους καὶ ὁμόνοιαν. ρμγʹ. 57
Πρὸς τοὺς Ἀδελφοὺς παραίνεσις. ρμεʹ. 57
Ἐπιτίμησις φοβερὰ πρὸς τὸν Ἡγούμενον. ρμϛʹ. 58
Πρὸς τὸν Καθηγούμενον τὸν παριδόντα, τὰ ἐπιτίμια. ρμζʹ. 58
περὶ ξενοκουρίτου οὐ δεῖ λαβεῖν ἀρχήν. ρμηʹ. 58
περὶ τοῦ Προδρόμου, καὶ τῶν αὐτοῦ Ἑορτῶν. ρμθʹ. 58
Καὶ τῶν Ἁγίων αὐτοῦ εἰκόνων. ρνʹ. 58
περὶ τοῦ μὴ οἰκοδομεῖν ἕτερον κελλίον. ρναʹ. 58
περὶ ἡσυχαστῶν καὶ τῆς αὐτῶν διαίτης, ἐντολὴ φρικώδης. ρνβʹ. 60
περὶ τὰς μνήμας τῶν Ἁγίων Πατέρων ἡμῶν. ρνδʹ. 60
περὶ τῶν ἀφιερωσάντων ἐπικτήσεις, εἰς τὴν Μονήν. ρνεʹ. 60
περὶ τὰς μνήμας πάντων τῶν συναδελφῶν. ρμζʹ. 61
περὶ τῆς αὐτοῦ γνώμης, καὶ τῆς διατάξεως. ρμηʹ. 61
περὶ τὸν νόμιμον κοινὸν ἐκλέγεσθαι ἐπίσκοπον. ρμθʹ. 62
περὶ τῶν ἐπισκόπων, Θεός, καὶ ἡ αὐτὸν Τεκοῦσα, καὶ Βασιλεύς. ρζʹ. 62

Πα-

Παράκλησις ἔνορκος, πρὸς τοὺς μετὰ τὴν ἡμέραν ἄρχοντας τῆς νήσου. ρξα΄. 62
Ἀραὶ φρικωδέσαται, κατὰ τοῦ πειραθησομένου χωρῆσαι, πρὸς ἀθέτησιν. ρξβ΄. 62
Κατήχησις πρὸς τοὺς ἀδελφούς. ρξγ΄. 63
Πρὸς τὸν Καθηγούμενον κατήχησις, καὶ ὅρος τῶν Ἀδελφῶν. ρξδ΄. 63
περὶ τῶν Ἐκκλησιαστικῶν ὅρος. ρξε΄. 63
Δέησις Ἁμαρτωλοῦ Νείλου, καὶ πρὸς πάντας παράκλησις. ρξς΄. 64
περὶ τοῦ τρεῖς τοῦ ἐνιαυτοῦ, ἀναγινώσκεσθαι τὸ παρὸν Τυπικόν. ρξζ΄. 64
Εὐχὴ σύντομος καὶ ἀκροτελεύτιος. ρξη΄. 64
περὶ τοῦ γυναικείου Μοναστηρίου. ρξθ΄. 65
Καὶ τί δεῖ λαμβάνειν αὐτάς. ρο΄. 65
Κανὼν Παρακλητικὸς εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. 67

Τέλος τοῦ Πίνακος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# NOI REFFORMATORI
## Dello Studio di Padova.

AVendo veduto per la Fede di Revisione, ed Approbazione del P. Gio: Paolo Zapparella Inquisitor Generale del Santo Officio di Venezia, nel Libro intitolato: *Tipici della Venerabile Regia Mansione della Santissima Vergine nell' Isola di Cipro ec. Manoscritto*; non v' esser cosa alcuna contro la Santa Fede Cattolica, e parimente per Attestato del Segretario nostro; niente contro Prencipi, e buoni costumi, concediamo Licenza ad *Antonio Bortoli Stampator di Venezia*, che possi esser stampato, osservando gli ordini in materia di Stampe, e presentando le solite Copie alle Pubbliche Librarie di Venezia, e di Padova.

Dat. li 16. Febraro 1755. M. V.

( *Z. Alvise Mocenigo 2. Ref.*
(
( *Barbon Morosini Kav. Proc. Ref.*

Registrato in Libro a Carte 30. al Num. 238.

*Giacomo Zuccato Segr.*

Adi 20. Febraro 1755. M. V.

Registr. al Mag. Eccel. degli Essecutori contro la Bestemmia.

*Francesco Bianchi Segr.*

# NOI REFORMATORI
## Dello Studio di Padova.

Avendo veduto per la Fede di Revisione, ed Approbazione del P. Gio: Paolo Zapparella Inquisitor Generale del Santo Officio di Venezia, nel Libro intitolato: *Tipici della Venerabile Regia Mansione della Santissima Vergine nell' Isola di Cipro ec. Manoscritto*; non v' esser cosa alcuna contro la Santa Fede Cattolica, e parimente per Attestato del Segretario nostro, niente contro Prencipi, e buoni costumi, concediamo Licenza ad *Antonio Bortoli Stampator di Venezia*, che possi esser stampato, osservando gli ordini in materia di Stampe, e presentando le solite Copie alle Pubbliche Librarie di Venezia, e di Padova.

Dat. li 16. Febraro 1755. M. V.

( *Z. Alvise Mocenigo 2. Ref.*
)
( *Barbon Morosini Kav. Proc. Ref.*

Registrato in Libro a Carte 30. al Num. 238.

*Giacomo Zuccato Segr.*

Adi 20. Febraro 1755. M. V.

Registr. al Mag. Eccel. degli Esecutori contro la Bestemmia.

*Francesco Bianchi Segr.*

AKADHMIA

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000023770

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ